# Emepodklés z Akragantu

Fragmenta DK 31 B

*ΠΕΡΙ ΦΥΣΕΩΣ*

**B 1** = Diogenés Laertios, Vitae philosophorum VIII, 60

ἦν δ᾽ ὁ Παυσανίας, ὥς φησιν ᾽Αρίστιππος καὶ Σάτυρος, ἐρώμενος αὐτοῦ, ὧι δὴ καὶ τὰ Περὶ φύσεως προσπεφώνηκεν οὕτως·

Παυσανίη, σὺ δὲ κλῦθι, δαΐφρονος ᾽Αγχίτεω υἱέ.

**B 2**

στεινωποὶ μὲν γὰρ παλάμαι κατὰ γυῖα κέχυνται·
πολλὰ δὲ δείλ᾽ ἔμπαια, τά τ᾽ ἀμβλύνουσι μέριμνας.
παῦρον δ᾽ ἐν ζωῆισι βίου μέρος ἀθρήσαντες
ὠκύμοροι καπνοῖο δίκην ἀρθέντες ἀπέπταν
αὐτὸ μόνον πεισθέντες, ὅτωι προσέκυρσεν ἕκαστος
πάντοσ᾽ ἐλαυνόμενοι, τὸ δ᾽ ὅλον <πᾶς> εὔχεται εὑρεῖν·
οὕτως οὔτ᾽ ἐπιδερκτὰ τάδ᾽ ἀνδράσιν οὔτ᾽ ἐπακουστὰ
οὔτε νόωι περιληπτά. σὺ δ᾽ οὖν, ἐπεὶ ὧδ᾽ ἐλιάσθης,
πεύσεαι οὐ πλέον ἠὲ βροτείη μῆτις ὄρωρεν.

**B 2** /1 = Sextos Empeirikos, Adversus mathematicos VII, 122-124

ἄλλοι δὲ ἦσαν οἱ λέγοντες κατὰ τὸν ᾽Εμπεδοκλέα κριτήριον εἶναι τῆς ἀληθείας οὐ τὰς αἰσθήσεις, ἀλλὰ τὸν ὀρθὸν λόγον, τοῦ δὲ ὀρθοῦ λόγου τὸν μέν τινα θεῖον ὑπάρχειν τὸν δὲ ἀνθρώπινον. ὧν τὸν μὲν θεῖον ἀνέξοιστον εἶναι, τὸν δὲ ἀνθρώπινον ἐξοιστόν. λέγει δὲ περὶ μὲν τοῦ μὴ ἐν ταῖς αἰσθήσεσι τὴν κρίσιν τἀληθοῦς ὑπάρχειν οὕτως· „στεινωποὶ ... περιληπτά“ (1-8), περὶ δὲ τοῦ μὴ εἰς τὸ

παντελὲς ἄληπτον εἶναι τὴν ἀλήθειαν, ἀλλ᾽ ἐφ᾽ ὅσον ἱκνεῖται ὁ ἀνθρώπινος λόγος ληπτὴν ὑπάρχειν, διασαφεῖ τοῖς προκειμένοις ἐπιφέρων „σὺ δ᾽ οὖν ... ὄρωρεν" (8-9).

**B 3** = Sextos Empeirikos, Adversus mathematicos VII, 122

καὶ διὰ τῶν ἑξῆς ἐπιπλήξας τοῖς πλέον ἐπαγγελλομένοις γιγνώσκειν παρίστησιν ὅτι τὸ δι᾽ ἑκάστης αἰσθήσεως λαμβανόμενον πιστόν ἐστι τοῦ λόγου τούτων ἐπιστατοῦντος, καίπερ πρότερον (B 2) καταδραμὼν τῆς ἀπ᾽ αὐτῶν πίστεως. φησὶ γὰρ

ἀλλὰ θεοὶ τῶν μὲν μανίην ἀποτρέψατε γλώσσης,
ἐκ δ᾽ ὁσίων στομάτων καθαρὴν ὀχετεύσατε πηγήν
καὶ σέ, πολυμνήστη λευκώλενε παρθένε Μοῦσα,
ἄντομαι, ὧν θέμις ἐστὶν ἐφημερίοισιν ἀκούειν,
πέμπε παρ᾽ Εὐσεβίης ἐλάουσ᾽ εὐήνιον ἅρμα.
μηδέ σέ γ᾽ εὐδόξοιο βιήσεται ἄνθεα τιμῆς
πρὸς θνητῶν ἀνελέσθαι, ἐφ᾽ ὧι θ᾽ ὁσίης πλέον εἰπεῖν
θάρσεϊ - καὶ τότε δὴ σοφίης ἐπ᾽ ἄκροισι θοάζειν.
ἀλλ᾽ ἄγ᾽ ἄθρει πάσηι παλάμηι, πῆι δῆλον ἕκαστον,
μήτε τιν᾽ ὄψιν ἔχων πίστει πλέον ἢ κατ᾽ ἀκουήν
ἢ ἀκοὴν ἐρίδουπον ὑπὲρ τρανώματα γλώσσης,
μήτε τι τῶν ἄλλων, ὁπόσηι πόρος ἐστὶ νοῆσαι,
γυίων πίστιν ἔρυκε, νόει δ᾽ ἧι δῆλον ἕκαστον.

**B 4** = Kléméns Alex., Stromata V, 18,4

ἀλλὰ κακοῖς μὲν κάρτα μέλει κρατέουσιν ἀπιστεῖν·
ὡς δὲ παρ᾽ ἡμετέρης κέλεται πιστώματα Μούσης,
γνῶθι διασσηθέντος ἐνὶ σπλάγχνοισι λόγοιο.

τοῖς μὲν γὰρ κακοῖς τοῦτο σύνηθες, φησὶν ὁ ᾿Εμπεδοκλῆς, τὸ ἐθέλειν κρατεῖν τῶν ἀληθῶν διὰ τοῦ ἀπιστεῖν.

**B 5** = Plútarchos, Quaestiones conviv. VIII, 8, 1; 728e

ἔλεγε δὲ τῆς ἐχεμυθίας τοῦτο γέρας εἶναι τοὺς ἰχθῦς καλεῖν <ἔλλοπας> οἷον εἱλλομένην τὴν ὄπα καὶ καθειργομένην ἔχοντας. καὶ τὸν ὁμώνυμον ἐμοὶ τῶι Παυσανίαι Πυθαγορικῶς παραινεῖν τὰ δόγματα·

στεγάσαι φρενὸς ἔλλοπος εἴσω.

**B 6** = Áetios I, 3, 20 (A 33). Sextos Empeirikos, Adversus mathematicos X, 315

τέσσαρα γὰρ πάντων ῥιζώματα πρῶτον ἄκουε·
Ζεὺς ἀργὴς Ἥρη τε φερέσβιος ἠδ᾿ ᾿Αιδωνεύς
Νῆστίς θ᾿, ἣ δακρύοις τέγγει κρούνωμα βρότειον.

**B 7** = Hésychios, Lexicon s.v. ἀγένητα (*agenéta*)

ἀγένητα. στοιχεῖα. παρ᾿ ᾿Εμπεδοκλεῖ.

**B 8** = Plútarchos, Adv. Col. 10; 1111f. Áetios I, 30, 1 (Dox. 326, 10)

᾿Εμπεδοκλῆς φύσιν μηδενὸς εἶναι, μίξιν δὲ τῶν στοιχείων καὶ διάστασιν· γράφει γὰρ οὕτως ἐν τῶι πρώτωι Φυσικῶν·

ἄλλο δέ τοι ἐρέω· φύσις οὐδενὸς ἔστιν ἁπάντων
θνητῶν, οὐδέ τις οὐλομένου θανάτοιο τελευτή,
ἀλλὰ μόνον μίξις τε διάλλαξίς τε μιγέντων
ἔστι, φύσις δ᾿ ἐπὶ τοῖς ὀνομάζεται ἀνθρώποισιν.

**B 9** = Plútarchos, adv. Col. 11; 1113a-b

οἱ δ᾿ ὅτε μὲν κατὰ φῶτα μιγέντ᾿ εἰς αἰθέρ᾿ ἵ<κωνται> (?)
ἢ κατὰ θηρῶν ἀγροτέρων γένος ἢ κατὰ θάμνων

ἠὲ κατ᾽ οἰωνῶν, τότε μὲν τὸ <λέγουσι> γενέσθαι,
εὖτε δ᾽ ἀποκρινθῶσι, τὸ δ᾽ αὖ δυσδαίμονα πότμον·
ᾗ θέμις <οὐ> καλέουσι, νόμωι δ᾽ ἐπίφημι καὶ αὐτός.

**B 10**

θάνατον ... ἀλοίτην ...

**B 10** /1 = Plútarchos, adv. Col. 11; 1113a

τοσοῦτον ἐδέησε τοῦ κινεῖν τὰ ὄντα καὶ μάχεσθαι τοῖς φαινομένοις, ὥστε μηδὲ τὴν φωνὴν (sc. γένεσις) ἐκβαλεῖν ἐκ τῆς συνηθείας, ἀλλ᾽ ὅσον εἰς τὰ πράγματα βλάπτουσαν ἀπάτην παρεῖχεν ἀφελών, αὖθις ἀποδοῦναι τοῖς ὀνόμασι τὸ νενομισμένον ἐν τούτοις „οἱ δ᾽ ... αὐτός“ (B 9). ἃ ὁ Κολώτης παραθέμενος οὐ συνεῖδεν, ὅτι φῶτας μὲν καὶ θῆρας καὶ θάμνους καὶ οἰωνοὺς ὁ ᾽Εμπεδοκλῆς οὐκ ἀνήιρηκεν, ἅ γέ φησι μιγνυμένων τῶν στοιχείων ἀποτελεῖσθαι, τοὺς δὲ τῆι συγκρίσει ταύτηι καὶ διακρίσει φύσιν τινὰ (B 8.1) καὶ πότμον δυσδαίμονα (B 9.4) καὶ θάνατον ἀλοίτην ἐπι κατηγοροῦντας ἧι σφάλλονται διδάξας, οὐκ ἀφείλετο τὸ χρῆσθαι ταῖς εἰθισμέναις φωναῖς περὶ αὐτῶν.

**B 11** = Plútarchos, adv. Col. 12; 1113c

ἐμοὶ μέντοι δοκεῖ μὴ τοῦτο κινεῖν τὸ ἐκφορικὸν ὁ ᾽Εμπεδοκλῆς, ἀλλ᾽ ὡς πρότερον εἴρηται, πραγματικῶς διαφέρεσθαι περὶ τῆς ἐξ οὐκ ὄντων γενέσεως, ἣν φύσιν τινὲς καλοῦσι (B 8.1). δηλοῖ δὲ μάλιστα διὰ τούτων τῶν ἐπῶν·

νήπιοι· οὐ γάρ σφιν δολιχόφρονές εἰσι μέριμναι,
οἳ δὴ γίγνεσθαι πάρος οὐκ ἐὸν ἐλπίζουσιν
ἤ τι καταθνήισκειν τε καὶ ἐξόλλυσθαι ἁπάντηι.

ταῦτα γὰρ τὰ ἔπη μέγα βοῶντός ἐστι τοῖς ὦτα ἔχουσιν, ὡς οὐκ ἀναιρεῖ γένεσιν ἀλλὰ τὴν ἐκ μὴ ὄντος, οὐδὲ φθορὰν ἀλλὰ τὴν ἁπάντηι, τουτέστι τὴν εἰς τὸ μὴ ὂν ἀπολλύουσαν.

**B 12**

ἔκ τε γὰρ οὐδάμ᾽ ἐόντος ἀμήχανόν ἐστι γενέσθαι
καί τ᾽ ἐὸν ἐξαπολέσθαι ἀνήνυστον καὶ ἄπυστον·
αἰεὶ γὰρ τῆι γ᾽ ἔσται, ὅπηι κέ τις αἰὲν

**B 12** /1 = Filón Alex., De aetern. mundi 5, 5; p. 3, 5 Cum.
ὥσπερ γὰρ ἐκ τοῦ μὴ ὄντος οὐδὲν γίνεται, οὐδ' εἰς τὸ μὴ ὂν φθείρεται· ᾽ἔκ ... ἄπυστον᾽.

**B 12** /2 = Pseudo-Aristotelés, De Melisso Xenophane Gorgia 2, 6; 975b1
ὡς καὶ ᾽Εμπεδοκλῆς λέγει; ἅπαντα γὰρ κἀκεῖνος ταὐτὰ ὁμολογήσας, ὅτι ἔκ τε μὴ ὄντος ἀμήχανόν ἐστι γενέσθαι, τό τε ὂν ἐξόλλυσθαι ἀνήνυστον καὶ ἄπρηκτον, ἀεὶ γὰρ θήσεσθαι ὅπῃ κέ τις αἰὲν ἐρείδῃ, ...

**B 13** = Aetios I, 18, 2 (Dox. 316, 1); Pseudo-Aristotelés, de MXG 2, 28; 976b 26

οὐδέ τι τοῦ παντὸς κενεὸν πέλει οὐδὲ περισσόν.

**B 14** = Pseudo-Aristotelés, de MXG 2, 28; 976b 23

τοῦ παντὸς δ᾽ οὐδὲν κενεόν· πόθεν οὖν τί κ᾽ ἐπέλθοι;

**B 15** = Plútarchos, adv. Col. 12; 1113d
τὸ μετὰ ταῦτ᾽ ἐπὶ τοὐναντίον ἂν αἰτιάσασθαι παράσχοι τοῦ ᾽Εμπεδοκλέους λέγοντος·

οὐκ ἂν ἀνὴρ τοιαῦτα σοφὸς φρεσὶ μαντεύσαιτο,

ὡς ὄφρα μέν τε βιῶσι, τὸ δὴ βίοτον καλέουσι,
τόφρα μὲν οὖν εἰσίν, καί σφιν πάρα δειλὰ καὶ ἐσθλά,
πρὶν δὲ πάγεν τε βροτοὶ καὶ <ἐπεὶ> λύθεν, οὐδὲν ἄρ᾽ εἰσιν.

ταῦτα γὰρ οὐκ ἀρνουμένου μὴ εἶναι τοὺς γεγονότας καὶ ζῶντάς ἐστιν, εἶναι δὲ μᾶλλον οἰομένου καὶ τοὺς μηδέπω γεγονότας καὶ τοὺς ἤδη τεθνηκότας.

**B 16** = Hippolytos Rom., Refutatio VII, 29 (p. 211 W.)

καὶ ἔστι πάντων τῶν γεγονότων τῆς γενέσεως δημιουργὸς καὶ ποιητὴς τὸ Νεῖκος τὸ ὀλέθριον, τῆς δὲ ἐκ τοῦ κόσμου τῶν γεγονότων ἐξαγωγῆς καὶ μεταβολῆς καὶ εἰς τὸν ἕνα (sc. κόσμον) ἀποκαταστάσεως ἡ Φιλία· περὶ ὧν ὁ Ἐμπεδοκλῆς ὅτι ἐστὶν ἀθάνατα δύο καὶ ἀγένητα καὶ ἀρχὴν τοῦ γενέσθαι μηδέποτε εἰληφότα ἄλλα λέγει τοιοῦτόν τινα τρόπον·

ἧι γὰρ καὶ πάρος ἔσκε(?), καὶ ἔσσεται, οὐδέ ποτ᾽, οἴω,
τούτων ἀμφοτέρων κενεώσεται ἄσπετος αἰών.

τίνων τούτων; τοῦ Νείκους καὶ τῆς Φιλίας· οὐ γὰρ ἤρξαντο γενέσθαι, ἀλλὰ προῆσαν καὶ ἔσονται ἀεί.

**B 17**

δίπλ᾽ ἐρέω· τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι
ἐκ πλεόνων, τοτὲ δ᾽ αὖ διέφυ πλέον᾽ ἐξ ἑνὸς εἶναι.
δοιὴ δὲ θνητῶν γένεσις, δοιὴ δ᾽ ἀπόλειψις·
τὴν μὲν γὰρ πάντων σύνοδος τίκτει τ᾽ ὀλέκει τε,
ἡ δὲ πάλιν διαφυομένων θρεφθεῖσα διέπτη.
καὶ ταῦτ᾽ ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει,
ἄλλοτε μὲν Φιλότητι συνερχόμεν᾽ εἰς ἓν ἅπαντα,
ἄλλοτε δ᾽ αὖ δίχ᾽ ἕκαστα φορεύμενα Νείκεος ἔχθει.

<οὕτως ἧι μὲν ἓν ἐκ πλεόνων μεμάθηκε φύεσθαι>
ἠδὲ πάλιν διαφύντος ἑνὸς πλέον᾽ ἐκτελέθουσι,
τῆι μὲν γίγνονταί τε καὶ οὔ σφισιν ἔμπεδος αἰών·
ἧι δὲ διαλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει,
ταύτηι δ᾽ αἰὲν ἔασιν ἀκίνητοι κατὰ κύκλον.

ἀλλ᾽ ἄγε μύθων κλῦθι· μάθη γάρ τοι φρένας αὔξει·
ὡς γὰρ καὶ πρὶν ἔειπα πιφαύσκων πείρατα μύθων,
δίπλ᾽ ἐρέω· τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι
ἐκ πλεόνων, τοτὲ δ᾽ αὖ διέφυ πλέον᾽ ἐξ ἑνὸς εἶναι,
πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ ἠέρος ἄπλετον ὕψος,
Νεῖκός τ᾽ οὐλόμενον δίχα τῶν, ἀτάλαντον ἁπάντηι,
καὶ Φιλότης ἐν τοῖσιν, ἴση μῆκός τε πλάτος τε·
τὴν σὺ νόωι δέρκευ, μηδ᾽ ὄμμασιν ἧσο τεθηπώς·
ἥτις καὶ θνητοῖσι νομίζεται ἔμφυτος ἄρθροις,
τῆι τε φίλα φρονέουσι καὶ ἄρθμια ἔργα τελοῦσι,
Γηθοσύνην καλέοντες ἐπώνυμον ἠδ᾽ ᾽Αφροδίτην.
τὴν οὔ τις μετὰ τοῖσιν ἑλισσομένην δεδάηκε
θνητὸς ἀνήρ· σὺ δ᾽ ἄκουε λόγου στόλον οὐκ ἀπατηλόν.
ταῦτα γὰρ ἶσά τε πάντα καὶ ἥλικα γένναν ἔασι,
τιμῆς δ᾽ ἄλλης ἄλλο μέδει, πάρα δ᾽ ἦθος ἑκάστωι,
ἐν δὲ μέρει κρατέουσι περιπλομένοιο χρόνοιο.
καὶ πρὸς τοῖς οὔτ᾽ ἄρ τι ἐπιγίνεται οὐδ᾽ ἀπολήγει·
εἴτε γὰρ ἐφθείροντο διαμπερές, οὐκέτ᾽ ἂν ἦσαν·
τοῦτο δ᾽ ἐπαυξήσειε τὸ πᾶν τί κε; καὶ πόθεν ἐλθόν;
πῆι δέ κε κἠξαπόλοιτο, ἐπεὶ τῶνδ᾽ οὐδὲν ἔρημον;
ἀλλ᾽ αὐτ(ὰ) ἔστιν ταῦτα, δι᾽ ἀλλήλων δὲ θέοντα

γίγνεται ἄλλοτε ἄλλα καὶ ἠνεκὲς αἰὲν ὁμοῖα.

**B 17** /1 = Simplikios, In Physica 157, 25

ὁ δὲ Ἐμπεδοκλῆς .... οὕτως ἐν τῶι πρώτωι τῶν Φυσικῶν παραδίδωσι „δίπλ᾽ ... ὁμοῖα".

**B 17** /2 = Simplikios, In Physica 161, 14

τὰ εὐθὺς ἐν ἀρχῆι παρατεθέντα „τοτὲ ... εἶναι".

**B 17** /3 = Plútarchos, Amat. 13; 756d

ἀλλ᾽ ὅταν Ἐμπεδοκλέους ἀκούσηις λέγοντος, ὦ ἑταῖρε, „καὶ ... τεθηπώς", ταῦτ᾽ οἴεσθαι χρὴ λέγεσθαι περὶ Ἔρωτος· οὐ γάρ ἐστιν ὁρατὸς ἀλλὰ δοξαστὸς ἡμῖν ὁ θεὸς ἐν τοῖς πάνυ παλαιοῖς.

**B 17** /4 = Kléméns Alex., Stromata V, 15,4

ὁ δὲ Ἐμπεδοκλῆς ἐν ταῖς ἀρχαῖς καὶ Φιλότητα συγκαταριθμεῖται συγκριτικήν τινα ἀγάπην νοῶν,

ἣν σὺ νόωι δέρκευ, μηδ᾽ ὄμμασιν ἧσο τεθηπώς·

**B 18** = Plútarchos, De Is. et Os. 48; 370d

Ἐμπεδοκλῆς δὲ τὴν μὲν ἀγαθουργὸν ἀρχὴν Φιλότητα καὶ Φιλίαν πολλάκις, <ἔτι> δ᾽ Ἁρμονίαν καλεῖ θεμερῶπιν (B 122.2).

Φιλίη.

**B 19** = Plútarchos, De prim. frig. 16; 952b

καὶ ὅλως τὸ μὲν πῦρ διαστατικόν ἐστι καὶ διαιρετικόν, τὸ δ᾽ ὕδωρ κολλητικὸν καὶ σχετικὸν τῆι ὑγρότητι συνέχον καὶ πῆττον· ἧι καὶ παρέσχεν Ἐμπεδοκλῆς ὑπόνοιαν

ὡς τὸ μὲν πῦρ Νεῖκος οὐλόμενον (B 17.19), σχεδύνην δὲ Φιλότητα τὸ ὑγρὸν ἑκάστοτε προσαγορεύων.

σχεδύνην Φιλότητα.

**B 20** = Simplikios, In Physica 1124, 9

καὶ γὰρ καὶ ἐνταῦθα τὸ Νεῖκος καὶ τὴν Φιλίαν παρὰ μέρος ἐπικρατεῖν ἐπί τε ἀνθρώπων καὶ ἰχθύων καὶ θηρίων καὶ ὀρνέων ὁ Ἐμπεδοκλῆς φησι τάδε γράφων·

τοῦτο μὲν ἀν βροτέων μελέων ἀριδείκετον ὄγκον·
ἄλλοτε μὲν Φιλότητι συνερχόμεν᾽ εἰς ἓν ἅπαντα
γυῖα, τὰ σῶμα λέλογχε, βίου θαλέθοντος ἐν ἀκμῆι·
ἄλλοτε δ᾽ αὖτε κακῆισι διατμηθέντ᾽ Ἐρίδεσσι
πλάζεται ἄνδιχ᾽ ἕκαστα περὶρρηγμῖνι βίοιο.
ὡς δ᾽ αὔτως θάμνοισι καὶ ἰχθύσιν ὑδρομελάθροις
θηρσί τ᾽ ὀρειλεχέεσσιν ἰδὲ πτεροβάμοσι κύμβαις.

**B 21** = Simplikios, In Physica 159, 13

πλείονα δὲ ἄλλα εἰπὼν ἐπάγει ἑκάστου τῶν εἰρημένων τὸν χαρακτῆρα, τὸ μὲν πῦρ ἥλιον (V, 3) καλῶν, τὸν δὲ ἀέρα αὐγὴν (V, 4) καὶ οὐρανόν (B 22.2), το ὕδωρ ὄμβρον (5) καὶ θάλασσαν (B 22.2). λέγει δὲ οὕτως·

ἀλλ᾽ ἄγε, τόνδ᾽ ὀάρων προτέρων ἐπιμάρτυρα δέρκευ,
εἴ τι καὶ ἐν προτέροισι λιπόξυλον ἔπλετο μορφῆι,
ἠέλιον μὲν λευκὸν ὁρᾶν καὶ θερμὸν ἁπάντηι,
ἄμβροτα δ᾽ ὅσσ᾽ εἴδει τε καὶ ἀργέτι δεύεται αὐγῆι,
ὄμβρον δ᾽ ἐν πᾶσι δνοφόεντά τε ῥιγαλέον τε·
ἐκ δ᾽ αἴης προρέουσι θελεμνά τε καὶ στερεωπά.
ἐν δὲ Κότωι διάμορφα καὶ ἄνδιχα πάντα πέλονται,
σὺν δ᾽ ἔβη ἐν Φιλότητι καὶ ἀλλήλοισι ποθεῖται.

ἐκ τούτων γὰρ πάνθ᾽ ὅσα τ᾽ ἦν ὅσα τ᾽ ἔστι καὶ ἔσται,
δένδρεά τ᾽ ἐβλάστησε καὶ ἀνέρες ἠδὲ γυναῖκες,
θῆρές τ᾽ οἰωνοί τε καὶ ὑδατοθρέμμονες ἰχθῦς,
καί τε θεοὶ δολιχαίωνες τιμῆισι φέριστοι.
αὐτὰ γὰρ ἔστιν ταῦτα, δι᾽ ἀλλήλων δὲ θέοντα
γίγνεται ἀλλοιωπά· τόσον διὰ κρῆσις ἀμείβει.

**B 22** /1 = Theofrastos, De sensu 16

ἄρθμια μὲν γὰρ ταῦτα ἑαυτῶν πάντα μέρεσσιν,
ἠλέκτωρ τε χθών τε καὶ οὐρανὸς ἠδὲ θάλασσα,
ὅσσα φιν ἐν θνητοῖσιν ἀποπλαχθέντα πέφυκεν.
ὡς δ᾽ αὔτως ὅσα κρῆσιν ἐπαρκέα μᾶλλον ἔασιν,
ἀλλήλοις ἔστερκται ὁμοιωθέντ᾽ ᾽Αφροδίτηι.
ἐχθρὰ <δ᾽ ἃ> πλεῖστον ἀπ᾽ ἀλλήλων διέχουσι μάλιστα
γέννηι τε κρήσει τε καὶ εἴδεσιν ἐκμάκτοισι,
πάντηι συγγίνεσθαι ἀήθεα καὶ μάλα λυγρά
Νείκεος ἐννεσίηισιν, ὅτι σφίσι γένναν ἔοργεν. (?)

**B 22** /2 = Simplikios, In Physica 160, 26

καὶ ἐκ τούτων δὲ ἄν τις τὸν διττὸν αἰνίττεσθαι διάκοσμον οἴοιτο· ᾽ἄρθμια ... ἔοργεν᾽. καὶ γὰρ ὅτι καὶ ἐν τοῖς θνητοῖς (3) ἥρμοσται ταῦτα, δεδήλωκεν, ἐν δὲ τοῖς νοητοῖς μᾶλλον ἥνωται καὶ ᾽ἀλλήλοις ... ᾽Αφροδίτηι᾽, (5) καὶ ὅτι κἂν πανταχοῦ, ἀλλὰ τὰ μὲν νοητὰ τῆι Φιλίαι ὡμοίωται, τὰ δὲ αἰσθητὰ ὑπὸ τοῦ Νείκους κρατηθέντα καὶ ἐπὶ πλέον διασπασθέντα ἐν τῆι κατὰ τὴν κρᾶσιν γενέσει ἐν ἐκμάκτοις (7) καὶ εἰκονικοῖς εἴδεσιν ὑπέστησαν τοῖς νεικεογενέσι καὶ ἀήθως ἔχουσι (8) πρὸς τὴν ἕνωσιν τὴν πρὸς ἄλληλα.

**B 23** = Simplikios, In Physica 159, 27

καὶ παράδειγμα δὲ ἐναργὲς παρέθετο τοῦ ἐκ τῶν αὐτῶν γίνεσθαι τὰ διάφορα·

ὡς δ᾽ ὁπόταν γραφέες ἀναθήματα ποικίλλωσιν
ἀνέρες ἀμφὶ τέχνης ὑπὸ μήτιος εὖ δεδαῶτε,
οἵτ᾽ ἐπεὶ οὖν μάρψωσι πολύχροα φάρμακα χερσίν,
ἁρμονίηι μείξαντε τὰ μὲν πλέω, ἄλλα δ᾽ ἐλάσσω,
ἐκ τῶν εἴδεα πᾶσιν ἀλίγκια πορσύνουσι,
δένδρεά τε κτίζοντε καὶ ἀνέρας ἠδὲ γυναῖκας
θῆράς τ᾽ οἰωνούς τε καὶ ὑδατοθρέμμονας ἰχθῦς
καί τε θεοὺς δολιχαίωνας τιμῆισι φερίστους·
οὕτω μή σ᾽ ἀπάτη φρένα καινύτω ἄλλοθεν εἶναι
θνητῶν, ὅσσα γε δῆλα γεγάκασιν ἄσπετα, πηγήν,
ἀλλὰ τορῶς ταῦτ᾽ ἴσθι, θεοῦ πάρα μῦθον ἀκούσας.

**B 24** = Plútarchos, De defectu orac. 15; 418c

ἀλλ᾽ ἵνα μή, τὸ Ἐμπεδόκλειον εἰπεῖν, δόξω

κορυφὰς ἑτέρας ἑτέρηισι προσάπτων
μύθων μὴ τελέειν ἀτραπὸν μίαν,

ἐάσατέ με τοῖς πρώτοις τὸ προσῆκον ἐπιθεῖναι τέλος.

**B 25** /1 = Platón, Gorg. 498e

συλλόγισαι δὴ κοινῆι μετ᾽ ἐμοῦ τί ἡμῖν συμβαίνει ἐκ τῶν ὡμολογημένων· καὶ δὶς γάρ τοι καὶ τρίς φασι καλὸν εἶναι τὰ καλὰ λέγειν τε καὶ ἐπισκοπεῖσθαι.

**B 25** /2 = Schol. in Plat. Gorg.

παροιμία ᾽δὶς καὶ τρὶς τὸ καλόν᾽, ὅτι χρὴ περὶ τῶν καλῶν πολλάκις λέγειν.
Ἐμπεδοκλέους τὸ ἔπος, ἀφ᾽ οὗ καὶ ἡ παροιμία· φησὶ γάρ· φησὶ γάρ·

... καὶ δὶς γάρ, ὃ δεῖ, καλόν ἐστιν ἐνισπεῖν.

**B 26** = Simplikios, In Physica 33, 18

καὶ ὀλίγον δὲ προελθών φησιν

ἐν δὲ μέρει κρατέουσι περιπλομένοιο κύκλοιο,
καὶ φθίνει εἰς ἄλληλα καὶ αὔξεται ἐν μέρει αἴσης.
αὐτὰ γὰρ ἔστιν ταῦτα, δι᾽ ἀλλήλων δὲ θέοντα
γίνοντ(αι) ἄνθρωποί τε καὶ ἄλλων ἔθνεα θηρῶν
ἄλλοτε μὲν Φιλότητι συνερχόμεν᾽ εἰς ἕνα κόσμον,
ἄλλοτε δ᾽ αὖ δίχ᾽ ἕκαστα φορούμενα Νείκεος ἔχθει,
εἰσόκεν ἓν συμφύντα τὸ πᾶν ὑπένερθε γένηται.
οὕτως ἧι μὲν ἓν ἐκ πλεόνων μεμάθηκε φύεσθαι
ἠδὲ πάλιν διαφύντος ἑνὸς πλέον᾽ ἐκτελέθουσι,
τῆι μὲν γίγνονταί τε καὶ οὔ σφισιν ἔμπεδος αἰών·
ἧι δὲ τάδ᾽ ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει,
ταύτηι δ᾽ αἰὲν ἔασιν ἀκίνητοι κατὰ κύκλον.

**B 27**

ἔνθ᾽ οὔτ᾽ ἠελίοιο διείδεται ὠκέα γυῖα
οὐδὲ μὲν οὐδ᾽ αἴης λάσιον μένος οὐδὲ θάλασσα·
οὕτως Ἁρμονίης πυκινῶι κρύφωι ἐστήρικται
Σφαῖρος κυκλοτερὴς μονίηι περιηγέι γαίων.

**B 27** /1 = Plútarchos, De fac. lun. 12; 926d

ὅρα ... μὴ ... τὸ Νεῖκος ἐπάγῃς τὸ Ἐμπεδοκλέους τοῖς πράγμασι, μᾶλλον δὲ τοὺς παλαιοὺς κινῇς Τιτᾶνας ἐπὶ τὴν φύσιν καὶ Γίγαντας καὶ τὴν μυθικὴν ἐκείνην καὶ φοβερὰν ἀκοσμίαν καὶ πλημμέλειαν ἐπιδεῖν ποθῇς χωρὶς τὸ βαρὺ πᾶν καὶ χωρὶς <τιθεὶς> τὸ κοῦφον, „ἔνθ᾽ ... θάλασσα“, ὥς φησιν Ἐμπεδοκλῆς, οὐ γῆ θερμότητος

μετεῖχεν, οὐχ ὕδωρ πνεύματος, οὐκ ἄνω τι τῶν βαρέων, οὐ κάτω τι τῶν κούφων, ἀλλ᾽ ἄκρατοι καὶ ἄστοργοι καὶ μονάδες αἱ τῶν ὅλων ἀρχαί ... ἄχρις οὗ τὸ ἱμερτὸν ἧκεν ἐπὶ τὴν φύσιν ἐκ προνοίας Φιλότητος ἐγγενομένης καὶ ᾿Αφροδίτης καὶ Ἔρωτος, ὡς ᾿Εμπεδοκλῆς λέγει καὶ Παρμενίδης καὶ Ἡσίοδος.

**B 27** /2 = Simplikios, In Physica 1183, 28

Εὔδημος (fr. 71) δὲ τὴν ἀκινησίαν ἐν τῆι τῆς Φιλίας ἐπικρατείαι κατὰ τὸν Σφαῖρον ἐκδέχεται, ἐπειδὰν ἅπαντα συγκριθῆι „ἔνθ᾽ ... γυῖα“, ἀλλ᾽ ὥς φησιν „οὕτως ... γαίων“.

**B 27a** = Plútarchos, c. princip. philos. esse diss. 2; 777c

ὁ μὲν γὰρ εἰς ἀρετὴν διὰ φιλοσοφίας τελευτῶν σύμφωνον ἑαυτῶι καὶ ἄμεμπτον ὑφ᾽ ἑαυτοῦ καὶ μεστὸν εἰρήνης καὶ φιλοφροσύνης τῆς πρὸς ἑαυτὸν ἀεὶ παρέχεται τὸν ἄνθρωπον·

οὐ στάσις οὐδέ τε δῆρις ἀναίσιμος ἐν μελέεσσιν.

**B 28** = Stobaios, Anthologium I, 15, 2ab (I, 144, 20 W.)

ἀλλ᾽ ὅ γε πάντοθεν ἶσος <ἑοῖ> καὶ πάμπαν ἀπείρων
Σφαῖρος κυκλοτερὴς μονίηι περιηγέι γαίων.

**B 29**

Od zad mu přece neroste dvojitá větev,
nemá nohy, nemá hbitá kolena, nemá ani žádné pohlaví,
nýbrž byl Sfairos a (odevšad) roven sobě samému.
οὐ γὰρ ἀπὸ νώτοιο δύο κλάδοι ἀίσσονται,
οὐ πόδες, οὐ θοὰ γοῦν(α), οὐ μήδεα γεννήεντα,
ἀλλὰ σφαῖρος ἔην καὶ <πάντοθεν> ἶσος ἑαυτῶι.

**B 29** /1 = Hippolytos Rom., Refutatio VII, 29 (p. 212 W.)

καὶ περὶ μὲν τῆς τοῦ κόσμου ἰδέας, ὁποία τίς ἐστιν ὑπὸ τῆς Φιλίας κοσμουμένη, λέγει τοιοῦτόν τινα τρόπον·

„οὐ ... αὐτῶι".

τοιοῦτόν τι καὶ κάλλιστον εἶδος τοῦ κόσμου ἡ Φιλία ἐκ πολλῶν ἓν ἀπεργάζεται· τὸ δὲ Νεῖκος, τὸ τῆς τῶν κατὰ μέρος διακοσμήσεως αἴτιον, ἐξ ἑνὸς ἐκείνου ἀποσπᾶι καὶ ἀπεργάζεται πολλά.

**B 29** /2 = Simplikios, In Physica 1124, 1

τὴν Φιλίαν διὰ τῆς ἑνώσεως τὸν Σφαῖρον ποιοῦσαν, ὃν καὶ θεὸν ὀνομάζει (B 31), καὶ οὐδετέρως ποτὲ καλεῖ ʾσφαῖρον ἔηνʾ.

**B 30**

αὐτὰρ ἐπεὶ μέγα Νεῖκος ἐνὶμμελέεσσιν ἐθρέφθη
ἐς τιμάς τʾ ἀνόρουσε τελειομένοιο χρόνοιο,
ὅς σφιν ἀμοιβαῖος πλατέος παρʾ ἐλήλαται ὅρκου ...

**B 30** /1 = Aristotelés, Metaphysica III, 4; 1000b 12

καὶ ἅμα δὲ αὐτῆς τῆς μεταβολῆς αἴτιον οὐθὲν λέγει ἀλλ' ἢ ὅτι οὕτως πέφυκεν „ἀλλ' ὅτε δὴ ... ὅρκου".

**B 30** /2 = Simplikios, In Physica 1184, 12

λέγει δὲ καὶ ταῦτα ʾΕμπεδοκλῆς ἐπὶ τῆς τοῦ Νείκους ἐπικρατείας „αὐτὰρ ἐπεὶ ... ὅρκου".

**B 31** = Simplikios, In Physica 1184, 2 (sec. B 27, 4)

ἀρξαμένου δὲ πάλιν τοῦ Νείκους ἐπικρατεῖν τότε πάλιν κίνησις ἐν τῶι Σφαίρωι γίνεται·

πάντα γὰρ ἑξείης πελεμίζετο γυῖα θεοῖο.

**B 32**

δύω δέει ἄρθρον (?).

**B 32** = Pseudo-Aristotelés, De lin. insecab. 972b 29

ἔτι τὸ ἄρθρον διαφορά πώς ἐστιν· διὸ καὶ Ἐμπεδοκλῆς ἐποίησε ʾδιὸ δεῖ ὀρθῶςʾ (δύω δέει ἄρθρον?).

**B 33** = Plútarchos, De amic. multit. 5; 95a

ἡ μὲν γὰρ (sc. φιλία) συνάγει καὶ συνίστησι καὶ συνέχει καταπυκνοῦσα ταῖς ὁμιλίαις καὶ φιλοφροσύναις

ὡς δʾ ὅτʾ ὀπὸς γάλα λευκὸν ἐγόμφωσεν καὶ ἔδησε ...

κατʾ Ἐμπεδοκλέα (τοιαύτην γὰρ ἡ φιλία βούλεται ποιεῖν ἑνότητα καὶ σύμπηξιν), ἡ δὲ πολυφιλία διίστησι καὶ ἀποσπᾶι καὶ ἀποστρέφει, τῶι μετακαλεῖν καὶ μεταφέρειν ἄλλοτε πρὸς ἄλλον οὐκ ἐῶσα κρᾶσιν οὐδὲ κόλλησιν εὐνοίας ἐν τῆι συνηθείαι περιχυθείσηι καὶ παγείσηι γενέσθαι.

**B 34** = Aristotelés, Meteorologica IV, 4; 381b31

τὸ γὰρ ὑγρὸν τῶι ξηρῶι αἴτιον τοῦ ὁρίζεσθαι καὶ ἑκάτερον ἑκατέρωι οἷον κόλλα γίγνεται, ὥσπερ καὶ Ἐμπεδοκλῆς ἐποίησεν ἐν τοῖς Φυσικοῖς·

ἄλφιτον ὕδατι κολλήσας ...

**B 35**

αὐτὰρ ἐγὼ παλίνορσος ἐλεύσομαι ἐς πόρον ὕμνων,
τὸν πρότερον κατέλεξα, λόγου λόγον ἐξοχετεύων,
κεῖνον· ἐπεὶ Νεῖκος μὲν ἐνέρτατον ἵκετο βένθος
δίνης, ἐν δὲ μέσηι Φιλότης στροφάλιγγι γένηται,

ἐν τῆι δὴ τάδε πάντα συνέρχεται ἓν μόνον εἶναι,
οὐκ ἄφαρ, ἀλλὰ θελημὰ συνιστάμεν᾽ ἄλλοθεν ἄλλα.
τῶν δέ τε μισγομένων χεῖτ᾽ ἔθνεα μυρία θνητῶν· (?)
πολλὰ δ᾽ ἄμεικτ᾽ ἔστηκε κεραιομένοισιν ἐναλλάξ,
ὅσσ᾽ ἔτι Νεῖκος ἔρυκε μετάρσιον· οὐ γὰρ ἀμεμφέως
τῶν πᾶν ἐξέστηκεν ἐπ᾽ ἔσχατα τέρματα κύκλου,
ἀλλὰ τὰ μέν τ᾽ ἐνέμιμνε μελέων τὰ δέ τ᾽ ἐξεβεβήκει.
ὅσσον δ᾽ αἰὲν ὑπεκπροθέοι, τόσον αἰὲν ἐπήιει
ἠπιόφρων Φιλότητος ἀμεμφέος ἄμβροτος ὁρμή·
αἶψα δὲ θνήτ᾽ ἐφύοντο, τὰ πρὶν μάθον ἀθάνατ᾽ εἶναι,
ζωρά τε τὰ πρὶν ἄκρητα διαλλάξαντα κελεύθους.
τῶν δέ τε μισγομένων χεῖτ᾽ ἔθνεα μυρία θνητῶν,
παντοίαις ἰδέῃσιν ἀρηρότα, θαῦμα ἰδέσθαι.

**B 35** /1 = Simplikios, In De caelo 528, 30
μήποτε δὲ κἂν ἐπικρατῆι ἐν τούτωι [τῶι κόσμωι] τὸ Νεῖκος ὥσπερ ἐν τῶι σφαίρωι ἡ Φιλία, ἀλλ᾽ ἄμφω ὑπ᾽ ἀμφοῖν λέγονται γίνεσθαι. καὶ τάχα οὐδὲν κωλύει παραθέσθαι τινὰ τῶν τοῦ Ἐμπεδοκλέους ἐπῶν τοῦτο δηλοῦντα „αὐτὰρ ... κελεύθους“.

**B 35** /2 = Simplikios, In Physica 32, 11
καὶ πρὸ τούτων δὲ τῶν ἐπῶν (B 98) ἐν ἄλλοις τὴν ἀμφοῖν ἐν τοῖς αὐτοῖς ἐνέργειαν παραδίδωσι λέγων „ἐπεὶ ... ἰδέσθαι“.

**B 35** /3 = Ders., De caelo 587, 8
καὶ πῶς ταῦτα, φαίη ἄν τις, ἐπὶ τῆς Φιλότητος γίνεσθαι λέγει ὁ Ἀριστοτέλης, δι᾽ ἣν πάντα ἓν γίνεσθαι ὁ Ἐμπεδοκλῆς φησιν „ἐν τῆι δὴ ... εἶναι“ (5); μήποτε οὖν οὐκ ἐν

τῆι ἐπικρατείαι τῆς Φιλίας ταῦτα λέγει γενέσθαι ὁ Ἐμπεδοκλῆς, ὡς ἐνόμισεν Ἀλέξανδρος, ἀλλὰ τότε, ὅτε οὔπω τὸ Νεῖκος „πᾶν ... ὁρμή“.

**B 35** /4 = Aristotelés, Poetica 25; 1461a23

τὰ δὲ διαιρέσει (sc. λυτέον) οἷον Ἐμπεδοκλῆς „ αἶψα ... κέκρητο“.

**B 35** /5 = Athénaios, Deipnosophistae X, 423f (X, 22 Kaibel)

Θεόφραστος δ᾽ ἐν τῶι Περὶ μέθης ζωρότερόν φησιν εἶναι τὸ κεκραμένον παρατιθέμενος Ἐμπεδοκλέους τάδε „αἶψα ... κελεύθους“.

**B 35** /6 = Plútarchos, Quaestiones convivales V, 4, 1; 677d

Σωσικλῆς δ᾽ ὁ ποιητής, τοῦ Ἐμπεδοκλέους ἐπιμνησθεὶς εἰρηκότος ἐν τῆι καθόλου μεταβολῆι γίγνεσθαι „ζωρά τε τὰ πρὶν ἄκρητα“ μᾶλλον ἔφη τὸ εὔκρατον ἢ τὸ ἄκρατον ὑπὸ τἀνδρὸς ζωρὸν λέγεσθαι.

**B 36**

τῶν δὲ συνερχομένων ἐξ ἔσχατον ἵστατο Νεῖκος.

**B 36** /1 = Stobaios, Anthologium I, 10, 11 (p. 121, 14 W.), sec. B 6

„τῶν δὲ συνερχομένων ἐξ ἔσχατον ἵστατο Νεῖκος.“

**B 36** /2 = Aristotelés, Metaphysica III, 4; 1000b1

εἰ γὰρ μὴ ἐνῆν τὸ Νεῖκος ἐν τοῖς πράγμασιν, ἓν ἂν ἦν ἅπαντα, ὥς φησιν· ὅταν γὰρ συνέλθηι, τότε „ἐξ ... Νεῖκος“.

**B 37** = Aristotelés, De generatione et corr. II, 6; 333a35

ἀλλὰ μὴν οὐδ᾽ αὔξησις ἂν εἴη κατ᾽ Ἐμπεδοκλέα, ἀλλ᾽ ἢ κατὰ πρόσθεσιν· πυρὶ γὰρ αὔξει τὸ πῦρ,

αὔξει δὲ χθὼν μὲν σφέτερον δέμας, αἰθέρα δ᾿ αἰθήρ.

**B 38** = Kléméns Alex., Stromata V, 48,3

εἰ δ᾿ ἄγε τοι λέξω πρῶθ᾿ ἥλιον ἀρχήν,
ἐξ ὧν δῆλ᾿ ἐγένοντο τὰ νῦν ἐσορῶμεν ἅπαντα,
γαῖά τε καὶ πόντος πολυκύμων ἠδ᾿ ὑγρὸς ἀήρ
Τιτὰν ἠδ᾿ αἰθὴρ σφίγγων περὶ κύκλον ἅπαντα.

**B 39** = Aristotelés, De caelo II, 13; 294a 21

εἴπερ ἀπείρονα γῆς τε βάθη καὶ δαψιλὸς αἰθήρ,
ὡς διὰ πολλῶν δὴ γλώσσας ἐλθόντα ματαίως
ἐκκέχυται στομάτων ὀλίγον τοῦ παντὸς ἰδόντων ...

**B 40** = Plútarchos, De fac. in orb. lun. 2; 920c

ὥς που καὶ ᾿Εμπεδοκλῆς τὴν ἑκατέρων ἀποδίδωσιν οὐκ ἀηδῶς διαφοράν·

Ἥλιος ὀξυβελὴς ἠδ᾿ ἱλάειρα Σελήνη.

τὸ ἐπαγωγὸν αὐτῆς καὶ ἱλαρὸν καὶ ἄλυπον οὕτω προσαγορεύσας.

**B 41** = Apollodóros, Περὶ θεῶν, in Macrob., Sat. I, 17, 46

ἀλλ᾿ ὁ μὲν ἁλισθεὶς μέγαν οὐρανὸν ἀμφιπολεύει.

**B 42**

ἀπεστέγασεν δέ οἱ αὐγάς,
ἔστ᾿ ἂν ἴηι καθύπερθεν, ἀπεσκνίφωσε δὲ γαίης
τόσσον ὅσον τ᾿ εὖρος γλαυκώπιδος ἔπλετο μήνης.

**B 42** = Plútarchos, De fac. in orbe lun. 16; 929c

κατὰ στάθμην, φησὶ Δημόκριτος (68 A 89a), ἱσταμένη (sc. ἡ σελήνη) τοῦ φωτίζοντος ὑπολαμβάνει καὶ δέχεται τὸν ἥλιον· ὥστ᾽ αὐτήν τε φαίνεσθαι καὶ διαφαίνειν ἐκεῖνον εἰκὸς ἦν. ἡ δὲ πολλοῦ δεῖ τοῦτο ποιεῖν· αὐτή τε γὰρ ἄδηλός ἐστι τηνικαῦτα κἀκεῖνον ἀπέκρυψε καὶ ἠφάνισε πολλάκις „ἀπεσκεύασε δέ οἱ αὐγάς“ ὥσπερ φησὶν Ἐμπεδοκλῆς „ἔστε αἶαν καθύπερθεν ... μήνης“, καθάπερ εἰς νύκτα καὶ σκότος, οὐκ εἰς ἄστρον ἕτερον τοῦ φωτὸς ἐμπεσόντος ... ἀπολείπεται τοίνυν τὸ τοῦ Ἐμπεδοκλέους, ἀνακλάσει τινὶ τοῦ ἡλίου πρὸς τὴν σελήνην γίγνεσθαι τὸν ἐνταῦθα φωτισμὸν ἀπ᾽ αὐτῆς. ὅθεν οὐδὲ θερμὸν οὐδὲ λαμπρὸν ἀφικνεῖται πρὸς ἡμᾶς, ὥσπερ ἦν εἰκός, ἐξάψεως καὶ μίξεως <τῶν> φώτων γεγενημένης, ἀλλ᾽ οἷον αἵ τε φωναὶ κατὰ τὰς ἀνακλάσεις ἀμαυροτέραν ἀναφαίνουσι τὴν ἠχὼ τοῦ φθέγματος ..., „ὣς αὐγὴ ... εὐρύν“ (B 43) ἀσθενῆ καὶ ἀμυδρὰν ἀνάρροιαν ἴσχει πρὸς ἡμᾶς διὰ τὴν κλάσιν ἐκλυομένης τῆς δυνάμεως.

**B 43** = Filón Alex., De providentia II, 70; ex armen. p. 92 Aucher
lunae vero lumen nonne inepte putatur a sole iuxta providentiam desumere lucem, cum potius instar speculi casu in se incidentem formam recipiat? quemadmodum Empedocles: „lumen accipiens lunaris globus magnus largusque (B 43?) mox illico reversus est ut currens caelum attingeret“.

ὣς αὐγὴ τύψασα σεληναίης κύκλον εὐρύν ...

**B 44** = Plútarchos, De Pyth. orac. 12; 400b
ὑμεῖς δὲ τοῦ μὲν Ἐμπεδοκλέους καταγελᾶτε φάσκοντος τὸν ἥλιον περὶ γῆν ἀνακλάσει φωτὸς οὐρανίου γενόμενον αὖθις·

ἀνταυγεῖ πρὸς Ὄλυμπον ἀταρβήτοισι προσώποις.

**B 45** = Achilleus Taitus, Isagoga excerpta 16; p. 43, 6 Maas

κυκλοτερὲς περὶ γαῖαν ἑλίσσεται ἀλλότριον φῶς.

**B 46**

ἅρματος ὡς πέρι χνοίη ἑλίσσεται ἥ τε παρ᾽ ἄκρην ... (?)

**B 46** /1 = Plútarchos, De fac. in orbe lun. 9; 925b

τῆς δὲ γῆς τρόπον τινὰ ψαύει καὶ περιφερομένη πλησίον ᾽ἅρματος ὥσπερ ἴχνος ἀνελίσσεται᾽, φησὶν ᾽Εμπεδοκλῆς, ᾽ἥ τε περὶ ἄκραν᾽. οὐδὲ γὰρ τὴν σκιὰν αὐτῆς ὑπερβάλλει πολλάκις ἐπὶ μικρὸν αἰρομένην τῶι παμμέγεθες εἶναι τὸ φωτίζον, ἀλλ᾽ οὕτως ἔοικεν ἐν χρῶι καὶ σχεδὸν ἐν ἀγκάλαις τῆς γῆς περιπολεῖν, ὥστ᾽ ἀντιφράττεσθαι πρὸς τὸν ἥλιον ὑπ᾽ αὐτῆς μὴ ὑπεραίρουσα τὸν σκιερὸν καὶ χθόνιον καὶ νυκτέριον τοῦτον τὸν τόπον, ὃς γῆς κλῆρός ἐστι. διὸ λεκτέον οἶμαι θαρροῦντας ἐν τοῖς τῆς γῆς ὅροις εἶναι τὴν σελήνην ὑπὸ τῶν ἄκρων αὐτῆς ἐπιπροσθουμένην.

**B 47** = Anecd. Bekk. I, 337, 13 (Συναγωγὴ λέξεων χρησ.)

ἁγής· τοῦτο ἀπὸ συνθέτου καταλείπεται τοῦ εὐαγὴς ἢ παναγής. ᾽Εμπεδοκλῆς.

ἀθρεῖ μὲν γὰρ ἄνακτος ἐναντίον ἁγέα κύκλον.

**B 48** = Plútarchos, Quaestiones Platonicae 3; 1006f

οἱ τῶν ὡρολογίων γνώμονες οὐ συμμεθιστάμενοι ταῖς σκιαῖς ἀλλ᾽ ἑστῶτες ὄργανα καὶ χρόνου μέτρα γεγόνασι μιμούμενοι τῆς γῆς τὸ ἐπιπροσθοῦν τῶι ἡλίωι περὶ αὐτὴν ὑποφερομένωι, καθάπερ εἶπεν ᾽Εμπεδοκλῆς

νύκτα δὲ γαῖα τίθησιν ὑφισταμένη φαέεσσι

<ἠελίου>.

**B 49** = Plútarchos, Quaestiones convivales VIII, 3, 1; 720e

σκοτεινὸς γὰρ ὢν ὁ ἀὴρ κατ᾽ ᾽Εμπεδοκλέα

νυκτὸς ἐρημαίης ἀλαώπιδος ...

ὅσον τῶν ὀμμάτων ἀφαιρεῖται τοῦ προαισθάνεσθαι διὰ τῶν ὤτων ἀποδίδωσιν.

**B 50** = Tzetzés, Alleg. O 83

ὅπερ φησὶν Ἐμπεδοκλῆς εἴτε τις τῶν ἑτέρων·

Ἶρις δ᾽ ἐκ πελάγους ἄνεμον φέρει ἢ μέγαν ὄμβρον.

**B 51** = Héródiános, Schematismi Hom. cod. Darmstadini in Sturzii Et. Gud. p. 745 (ad Et. M. p. 111, 10)

ἀνόπαια· οἱ μὲν ἀφανῆ, τινὲς δὲ τὸ ἄνω φέρεσθαι. Ἐμπεδοκλῆς· ᾽καρπαλίμως δὲ ἀνόπεαν᾽ ἐπὶ τοῦ πυρός. ἐξ οὗ δῆλον ὅτι καὶ οὐδετέρου γένους ἐστὶ τὸ ἀνόπαιον.

καρπαλίμως δ᾽ ἀνόπαιον ...

**B 52** = Proklos, In Tim. II, 8, 26 Diehl

καὶ γὰρ ὑπὸ γῆς ῥύακές εἰσι πυρός, ὥς πού φησι καὶ Ἐμπεδοκλῆς

πολλὰ δ᾽ ἔνερθ[ε] οὔδεος πυρὰ καίεται.

**B 53**

οὕτω γὰρ συνέκυρσε θέων τοτέ, πολλάκι δ᾽ ἄλλως.

**B 53** /1 = Aristotelés, De generatione et corr. II, 6; 334a 1

διέκρινε μὲν γὰρ τὸ Νεῖκος, ἠνέχθη δ᾽ ἄνω ὁ αἰθὴρ οὐχ ὑπὸ τοῦ Νείκους, ἀλλ᾽ ὁτὲ μέν φησιν ὥσπερ ἀπὸ τύχης

„οὕτω ... ἄλλως“,

ὁτὲ δέ φησι πεφυκέναι τὸ πῦρ ἄνω φέρεσθαι, ὁ δ᾽ ᾽αἰθήρ, φησι,

„<δ᾽ αὖ> μακρῇσι ... ῥίζαις“. (B 54)

ἅμα δὲ καὶ τὸν κόσμον ὁμοίως ἔχειν φησὶν ἐπί τε τοῦ Νείκους νῦν καὶ πρότερον ἐπὶ τῆς Φιλίας· τί οὖν ἐστι τὸ κινοῦν πρῶτον καὶ αἴτιον τῆς κινήσεως;

**B 53** /2 = Aristotelés, Physica II, 4; 196a 19

ἄτοπον οὖν εἴτε μὴ ὑπελάμβανον εἶναι εἴτε οἰόμενοι παρέλιπον, καὶ ταῦτ᾽ ἐνίοτε χρώμενοι, ὥσπερ Ἐμπεδοκλῆς οὐκ ἀεὶ τὸν ἀέρα ἀνωτάτω ἀποκρίνεσθαί φησιν, ἀλλ᾽ ὅπως ἂν τύχηι. λέγει γοῦν ἐν τῆι κοσμοποιίαι ὡς „οὕτω συνέκυρσε ... ἄλλως".

**B 54** = Aristotelés, De gen. et corr. II, 7; 334a 5

αἰθὴρ <δ᾽ αὖ> μακρῆισι κατὰ χθόνα δύετο ῥίζαις.

**B 55** = Aristotelés, Meteorologica II, 3; 356a 24

γῆς ἱδρῶτα θάλασσαν.

**B 56** = Héfaistión, Enchiridion de metris 1; p. 2, 13 Consbruch

Ἐμπεδοκλῆς·

ἅλς ἐπάγη ῥιπῆισιν ἐωσμένος ἠελίοιο.

**B 57**

ἧι πολλαὶ μὲν κόρσαι ἀναύχενες ἐβλάστησαν,
γυμνοὶ δ᾽ ἐπλάζοντο βραχίονες εὔνιδες ὤμων,
ὄμματά τ᾽ οἶ[α] ἐπλανᾶτο πενητεύοντα μετώπων.

**B 57** /1 = Simplikios, In De caelo 586, 29

πῶς δὲ ἂν εἴη μίξεως σημαντικὸν ἡ ἀναύχενος κόρση καὶ τἆλλα τὰ ὑπὸ τοῦ Ἐμπεδοκλέους λεγόμενα „γυμνοὶ ... μετώπων" καὶ πολλὰ ἄλλα, ἅπερ οὐκ ἔστι μίξεως παραδείγματα;

**B 57** /2 = Aristotelés, De caelo III, 2; 300b 25

ἔτι δὲ τοσοῦτον ἐπανέροιτ᾽ ἄν τις, πότερον δυνατὸν ἢ οὐχ οἷόν τ᾽ ἦν κινούμενα ἀτάκτως καὶ μείγνυσθαι τοιαύτας μίξεις ἔνια ἐξ ὧν συνίσταται τὰ κατὰ φύσιν

συνιστάμενα σώματα. λέγω δ᾽ οἷον ὀστᾶ καὶ σάρκας, καθάπερ ᾽Εμπεδοκλῆς φησι γίνεσθαι ἐπὶ τῆς Φιλότητος· λέγει γὰρ „πολλαὶ ... ἐβλάστησαν".

**B 58** = Simplikios, In De caelo 587, 18

ἐν ταύτηι οὖν τῆι καταστάσει „μουνομελῆ ἔτι τὰ γυῖα ἀπὸ τῆς τοῦ Νείκους διακρίσεως ὄντα ἐπλανᾶτο τῆς πρὸς ἄλληλα μίξεως ἐφιέμενα".

**B 59**

αὐτὰρ ἐπεὶ κατὰ μεῖζον ἐμίσγετο δαίμονι δαίμων,
ταῦτά τε συμπίπτεσκον, ὅπηι συνέκυρσεν ἕκαστα,
ἄλλα τε πρὸς τοῖς πολλὰ διηνεκῆ ἐξεγένοντο.

**B 59** /1 = Simplikios, In De caelo 587, 20

„αὐτὰρ ἐπεί, φησί, κατὰ ... δαίμων", ὅτε τοῦ Νείκους ἐπεκράτει λοιπὸν ἡ Φιλότης, „ταῦτά τε ... ἐξεγένοντο". ἐπὶ τῆς Φιλότητος οὖν ὁ ᾽Εμπεδοκλῆς ἐκεῖνα εἶπεν, οὐχ ὡς ἐπικρατούσης ἤδη τῆς Φιλότητος, ἀλλ᾽ ὡς μελλούσης ἐπικρατεῖν, ἔτι δὲ τὰ ἄμικτα καὶ μονόγυια δηλούσης.

**B 60** = Plútarchos, Adv. Colot. 28; 1123b

ταῦτα μέντοι καὶ πολλὰ τούτων ἕτερα τραγικώτερα τοῖς ᾽Εμπεδοκλέους ἐοικότα τεράσμασιν ὧν καταγελῶσιν

εἰλίποδ᾽ ἀκριτόχειρα

καὶ ᾽βουγενῆ ἀνδρόπρωιρα.

**B 61**

πολλὰ μὲν ἀμφιπρόσωπα καὶ ἀμφίστερνα φύεσθαι,
βουγενῆ ἀνδρόπρωιρα, τὰ δ᾽ ἔμπαλιν ἐξανατέλλειν

ἀνδροφυῆ βούκρανα, μεμειγμένα τῆι μὲν ἀπ᾽ ἀνδρῶν
τῆι δὲ γυναικοφυῆ σκιεροῖς ἠσκημένα γυίοις.

**B 61** /1 = Ailianos Klaudios, De natura animalium XVI, 29

᾽Εμπεδοκλῆς ὁ φυσικός φησι περὶ ζώιων ἰδιότητος λέγων καὶ ἐκεῖνος δήπου γίνεσθαί τινα συμφυῆ καὶ κράσει μορφῆς μὲν διάφορα, ἑνώσει δὲ σώματος συμπλακέντα· ἃ δὲ λέγει, ταῦτά ἐστι „πολλὰ ... γυίοις“.

**B 61** /2 = Simplikios, In Physica 371, 33

ὥσπερ ᾽Εμπεδοκλῆς κατὰ τὴν τῆς Φιλίας ἀρχήν φησι γενέσθαι ὡς ἔτυχε μέρη πρῶτον τῶν ζώιων οἷον κεφαλὰς καὶ χεῖρας καὶ πόδας, ἔπειτα συνιέναι ταῦτα „βουγενῆ ... ἐξανατέλλειν“, ἀνδρογενῆ δηλονότι βούπρωιρα, τουτέστιν ἐκ βοὸς καὶ ἀνθρώπου. καὶ ὅσα μὲν οὕτω συνέστη ἀλλήλοις ὥστε δύνασθαι τυχεῖν σωτηρίας, ἐγένετο ζῶια καὶ ἔμεινεν διὰ τὸ ἀλλήλοις ἐκπληροῦν τὴν χρείαν, τοὺς μὲν ὀδόντας τέμνοντάς τε καὶ λεαίνοντας τὴν τροφήν, τὴν δὲ γαστέρα πέττουσαν, τὸ δὲ ἧπαρ ἐξαιματοῦν. καὶ ἡ μὲν τοῦ ἀνθρώπου κεφαλὴ τῶι ἀνθρωπίνωι σώματι συνελθοῦσα σώιζεσθαι ποιεῖ τὸ ὅλον, τῶι δὲ τοῦ βοὸς οὐ συναρμόζει καὶ διόλλυται· ὅσα γὰρ μὴ κατὰ τὸν οἰκεῖον συνῆλθε λόγον, ἐφθάρη.

**B 61** /3 = Aristotelés, Physica II, 7; 198b 29

ὅπου μὲν οὖν ἅπαντα συνέβη ὥσπερ κἂν εἰ ἕνεκά του ἐγίνετο, ταῦτα μὲν ἐσώθη ἀπὸ τοῦ αὐτομάτου συστάντα ἐπιτηδείως· ὅσα δὲ μὴ οὕτως, ἀπώλετο καὶ ἀπόλλυται, καθάπερ ᾽Εμπεδοκλῆς λέγει τὰ „βουγενῆ ἀνδρόπρωιρα“.

**B 62** /1 = Simplikios, In Physica 381, 29

εἰπόντος δὲ τοῦ ᾽Εμπεδοκλέους ἐν τῶι δευτέρωι τῶν Φυσικῶν πρὸ τῆς τῶν ἀνδρείων καὶ γυναικείων σωμάτων διαρθρώσεως ταυτὶ τὰ ἔπη·

νῦν δ᾽ ἄγ᾽, ὅπως ἀνδρῶν τε πολυκλαύτων τε γυναικῶν

ἐννυχίους ὅρπηκας ἀνήγαγε κρινόμενον πῦρ,
τῶνδε κλύ᾽· οὐ γὰρ μῦθος ἀπόσκοπος οὐδ᾽ ἀδαήμων.
οὐλοφυεῖς μὲν πρῶτα τύποι χθονὸς ἐξανέτελλον,
ἀμφοτέρων ὕδατός τε καὶ εἴδεος αἶσαν ἔχοντες·
τοὺς μὲν πῦρ ἀνέπεμπε θέλον πρὸς ὁμοῖον ἱκέσθαι,
οὔτε τί πω μελέων ἐρατὸν δέμας ἐμφαίνοντας
οὔτ᾽ ἐνοπὴν οἷόν τ᾽ ἐπιχώριον ἀνδράσι γυῖον.

ταῦτα οὖν εἰπόντος τοῦ ᾽Εμπεδοκλέους ἐφίστησιν. ὅτι καὶ αὐτὸς ὡς ἔοικε σπέρμα πρὸ τῶν ζώιων γεγονέναι φησί. καὶ τὸ ᾽οὐλοφυὲς μὲν πρῶτα᾽ παρ᾽ αὐτοῦ εἰρημένον σπέρμα ἦν οὔπω μελέων ἐρατὸν δέμας ἐμφαῖνον (...) εἰ δὲ τὸ σπέρμα ἦν, θαυμαστῶς μοι δοκεῖ τὸ ᾽οὐλοφυὲς᾽ αὐτῶι ἐπιπρέπειν. οὐλοφυὲς γὰρ ἐκεῖνο κυρίως ἐστίν, ὃ καθ᾽ ὅλον ἑαυτὸ πᾶν ἐστιν, ὅπερ οὖν ἐστι, μήπω γενομένης ἐν αὐτῶι διακρίσεως.

**B 62** /2 = Aristotelés, Physica II, 8; 199b 7

ἔτι ἀνάγκη σπέρμα γενέσθαι πρῶτον, ἀλλὰ μὴ εὐθὺς τὰ ζῶια καὶ τὸ „οὐλοφυὲς μὲν πρῶτα" σπέρμα ἦν. ἔτι καὶ ἐν τοῖς φυτοῖς ἔνεστι τὸ ἕνεκά του, ἧττον δὲ διήρθρωται. πότερον οὖν καὶ ἐν τοῖς φυτοῖς ἐγίνετο ὥσπερ τὰ „βουγενῆ ἀνδρόπρωιρα" (B 61, 2) οὕτω καὶ „ἀμπελογενῆ ἐλαιόπρωιρα" ἢ οὔ; ἄτοπον γάρ. ἀλλὰ μὴν ἔδει γε, εἴπερ καὶ ἐν τοῖς ζώιοις.

**B 63** = Aristotelés, De generatione animal. I, 18; 722b 10

φησὶ γὰρ ἐν τῶι ἄρρενι καὶ τῶι θήλει οἷον σύμβολον ἐνεῖναι, ὅλον δ᾽ ἀπ᾽ οὐδετέρου ἀπιέναι,

ἀλλὰ διέσπασται μελέων φύσις· ἡ μὲν ἐν ἀνδρός ...

**B 64** = Plútarchos, Quaest. natur. 21; 917c

ἢ καὶ τὸ συντρέφεσθαι καὶ συναγελάζεσθαι τὰ θήλεα τοῖς ἄρρεσιν ἀνάμνησιν ποιεῖ τῶν ἀφροδισίων καὶ συνεκκαλεῖται τὴν ὄρεξιν· ὡς ἐπ᾽ ἀνθρώπων Ἐμπεδοκλῆς ἐποίησε·

τῶι δ᾽ ἐπὶ καὶ πόθος εἶσι δι᾽ ὄψιος ἀμμιμνήισκων (?).

**B 65** = Aristotelés, De generatione animal. I, 17; 723a 23

εἰ τὸ θῆλυ καὶ τὸ ἄρρεν ἐν τῆι κυήσει διαφέρει καθάπερ Ἐμπεδοκλῆς λέγει

ἐν δ᾽ ἐχύθη καθαροῖσι· τὰ μὲν τελέθουσι γυναῖκες
ψύχεος ἀντιάσαντα <τὰ δ᾽ ἔμπαλιν ἄρρενα θερμοῦ>.

**B 66** = Schol. Euripid. Phoen. 18

„μὴ σπεῖρε τέκνων ἄλοκα“·

Ἐμπεδοκλῆς ὁ φυσικὸς ἀλληγορῶν φησι „σχιστοὺς λειμῶνας Ἀφροδίτης“, ἐν οἷς ἡ τῶν παίδων γένεσίς ἐστιν. Εὐριπίδης δὲ ταὐτὸν τούτωι φάσκων τήν τε ἔννοιαν τὴν αἰσχρὰν ἀπέφυγε καὶ τοῖς ὀνόμασιν οἰκείοις ἐχρήσατο καὶ τεχνικαῖς ταῖς μεταφοραῖς, σπόρον καὶ ἄλοκα λέγων.

σχιστοὺς λειμῶνας ... Ἀφροδίτης.

**B 67** = Galénos, Ad Hippocr. Epid. VI, 48 (XVII A; p. 1002 K)

τὸ μέντοι ἄρρεν ἐν τῶι δεξιῶι μέρει τῆς μήτρας κυΐσκεσθαι καὶ ἄλλοι τῶν παλαιοτάτων ἀνδρῶν εἰρήκασιν· ὁ μὲν γὰρ Παρμενίδης οὕτως ἔφη „δεξιτεροῖσι ... κούρας“ (28 B 17)·

ὁ δ᾽ Ἐμπεδοκλῆς οὕτως·

ἐν γὰρ θερμοτέρωι τοκὰς ἄρρενος ἔπλετο γαστήρ(?)·
καὶ μέλανες διὰ τοῦτο καὶ ἁδρομελέστεροι ἄνδρες
καὶ λαχνήεντες μᾶλλον.

**B 68** = Aristotelés, De generatione animal. IV,8; 777a 7

τὸ γὰρ γάλα πεπεμμένον αἷμά ἐστιν, ἀλλ᾽ οὐ διεφθαρμένον. Ἐμπεδοκλῆς δ᾽ ἢ οὐκ ὀρθῶς ὑπελάμβανεν ἢ οὐκ εὖ μετήνεγκε ποιήσας ὡς τὸ αἷμα

μηνὸς ἐν ὀγδοάτου δεκάτηι πύον ἔπλετο λευκόν.

**B 69** = Proklos, In Plat. Rep. II, 34, 25 Kroll

ὅτι καὶ Ἐμπεδοκλῆς οἶδεν τὸν διπλοῦν τῶν γεννήσεων χρόνον. διὸ καὶ τὰς γυναῖκας καλεῖ διγόνους καὶ τὴν ὑπεροχὴν τοῦ πλήθους τῶν ἡμερῶν αὐτὸς εἶπεν καὶ ὅτι τὰ ὀκτάμηνα ἄγονα. καὶ εἰκότως· τῶν μὲν γὰρ ἑπταμήνων ὁ πρῶτος ἀριθμὸς ὁ λε ἐν ἀριθμοῖς ἐστιν ς η θ ιβ, ὧν οἱ ἄκροι τὸν διπλάσιον ἔχουσιν λόγον καὶ τὴν διὰ πασῶν· τῶν δὲ ἐννεαμήνων ὁ πρῶτος ἀριθμὸς ἐν ἀριθμοῖς συμφώνοις ς θ ιβ ιη, ὧν οἱ ἄκροι τριπλάσιον ἔχουσιν λόγον· μεταξὺ δὲ τούτων σύμφωνος ἄλλος οὐκ ἔστι λόγος, ὥστ᾽ εἰκότως συμφωνίας οὐκ οὔσης ἄγονα τὰ ὀκτάμηνα.

δίγονοι.

**B 70** = Rufus Ephes., De corporis humani appellationibus 229; p. 166, 11 Daremberg

τὸ δὲ βρέφος περιέχεται χιτῶσι, τῶι μὲν λεπτῶι καὶ μαλακῶι· ἀμνίον αὐτὸν Ἐμπεδοκλῆς καλεῖ.

ἀμνίον.

**B 71** = Simplikios, In De caelo 529, 28

εἰ δέ τί σοι περὶ τῶνδε λιπόξυλος ἔπλετο πίστις,
πῶς ὕδατος γαίης τε καὶ αἰθέρος ἠελίου τε
κιρναμένων εἴδη τε γενοίατο χροιά τε θνητῶν
τόσσ᾽, ὅσα νῦν γεγάασι συναρμοσθέντ᾽ Ἀφροδίτηι ...

**B 72** = Athénaios, Deipnosophistae VIII, 334b

οὐ λανθάνει δέ με καὶ ὅτι κοινῶς πάντες οἱ ἰχθύες καμασῆνες ὑπὸ ᾿Εμπεδοκλέους ἐλέχθησαν τοῦ φυσικοῦ οὕτως·

πῶς καὶ δένδρεα μακρὰ καὶ εἰνάλιοι καμασῆνες ...

**B 73** = Simplikios, In De caelo 530, 5

καὶ μετ᾿ ὀλίγα·

ὡς δὲ τότε χθόνα Κύπρις, ἐπεί τ᾿ ἐδίηνεν ἐν ὄμβρωι,
εἴδεα ποιπνύουσα θοῶι πυρὶ δῶκε κρατῦναι ...

**B 74** = Plútarchos, Quaest. conv. V, 10, 4; 685f

αὐτῶν δὲ τῶν ζώιων οὐδὲν ἂν χερσαῖον ἢ πτηνὸν εἰπεῖν ἔχοις οὕτω γόνιμον ὡς πάντα τὰ θαλάττια· πρὸς ὃ καὶ πεποίηκεν ὁ ᾿Εμπεδοκλῆς·

φῦλον ἄμουσον ἄγουσα πολυσπερέων καμασήνων.

**B 75** = Simplikios, In De caelo 530, 8

τῶν δ᾿ ὅσ᾿ ἔσω μὲν πυκνά, τὰ δ᾿ ἔκτοθι μανὰ πέπηγε,
Κύπριδος ἐν παλάμῃσι πλάδης τοιῆσδε τυχόντα ...

**B 76**

τοῦτο μὲν ἐν κόγχαισι θαλασσονόμων βαρυνώτοις,
ναὶ μὴν κηρύκων τε λιθορρίνων χελύων τε·
ἔνθ᾿ ὄψει χθόνα χρωτὸς ὑπέρτατα ναιετάουσαν.

**B 76** /1 = Plútarchos, Quaestiones convivales I, 2, 5; 618b

καὶ τὸν θεὸν ὁρᾶις, ὃν ᾿ἀριστοτέχναν᾿ ἡμῶν ὁ Πίνδαρος (fr. 57) προσεῖπεν, οὐ πανταχοῦ τὸ πῦρ ἄνω τάττοντα καὶ κάτω τὴν γῆν ἀλλ᾿ ὡς ἂν αἱ χρεῖαι τῶν σωμάτων ἀπαιτῶσι·

„τοῦτο ... χελύων τε“,

φησὶν ᾽Εμπεδοκλῆς,

„ἔνθ᾽ ... ναιετάουσαν“.

**B 76** /2 = Ders., De fac. in orb. 1, 14; 927f

οὐδὲ τοῦ πυρὸς τὸ μὲν ἄνω περὶ τὰ ὄμματα ἀποστίλβον κατὰ φύσιν ἐστί, τὸ δ᾽ ἐν κοιλίαι καὶ καρδίαι παρὰ φύσιν, ἀλλ᾽ ἕκαστον οἰκείως καὶ χρησίμως τέτακται. „ναὶ ... χελύων τε“ καὶ παντὸς ὀστρέου φύσιν, ὥς φησιν ὁ ᾽Εμπεδοκλῆς καταμανθάνων „ἔνθ᾽ ... ναιετάουσαν“.

**B 77-78**

<δένδρεα δ᾽> ἐμπεδόφυλλα καὶ ἐμπεδόκαρπα τέθηλεν

καρπῶν ἀφθονίηισι κατ᾽ ἠέρα πάντ᾽ ἐνιαυτόν.

**B 77-78** /1 = Plútarchos, Quaestiones convivales III, 2, 2; 649c

τὸ δ᾽ ἀειθαλὲς τοῦτο καὶ ὥς φησιν ᾽Εμπεδοκλῆς ἐμπεδόφυλλον οὐκ ἔστι θερμότητος· οὐδὲ γὰρ ψυχρότητος τὸ φυλλοροεῖν (...) ἔνιοι μὲν οὖν ὁμαλότητι κράσεως οἴονται παραμένειν τὸ φύλλον. ᾽Εμπεδοκλῆς δὲ πρὸς τούτωι καὶ πόρων τινὰ συμμετρίαν αἰτιᾶται τεταγμένως καὶ ὁμαλῶς τὴν τροφὴν διιέντων ὥστε ἀρκούντως ἐπιρρεῖν.

**B 77-78** /2 = Theofrastos, De caus. plant. I, 13, 2

εἰ δὲ καὶ συνεχῶς ὁ ἀὴρ ἀκολουθοίη τούτοις (sc. τοῖς δένδροις), ἴσως οὐδὲ τὰ παρὰ τῶν ποιητῶν λεγόμενα δόξειεν ἂν ἀλόγως ἔχειν οὐδ᾽ ὡς ᾽Εμπεδοκλῆς ἀείφυλλα καὶ ἐμπεδόκαρπά φησι θάλλειν

„καρπῶν ... ἐνιαυτόν“,

ὑποτιθέμενός τινα τοῦ ἀέρος κρᾶσιν, τὴν ἐαρινήν, κοινήν.

**B 79** /1 = Aristotelés, De generatione animalium I, 23; 731a 1

ἐν δὲ τοῖς φυτοῖς μεμειγμέναι αὗται αἱ δυνάμεις εἰσὶ καὶ οὐ κεχώρισται τὸ θῆλυ τοῦ ἄρρενος. διὸ καὶ γεννᾶι αὐτὰ ἐξ αὑτῶν καὶ προΐεται οὐ γονήν, ἀλλὰ κύημα τὰ καλούμενα σπέρματα. καὶ τοῦτο καλῶς λέγει Ἐμπεδοκλῆς ποιήσας

οὕτω δ᾽ ὠιοτοκεῖ μακρὰ δένδρεα πρῶτον ἐλαίας ...

τό τε γὰρ ὠιὸν κύημά ἐστι καὶ ἔκ τινος αὐτοῦ γίγνεται τὸ ζῶιον, τὸ δὲ λοιπὸν τροφή, καὶ τοῦ σπέρματος [καὶ] ἐκ μέρους γίγνεται τὸ φυόμενον, τὸ δὲ λοιπὸν τροφὴ γίγνεται τῶι βλαστῶι καὶ τῆι ῥίζηι τῆι πρώτηι.

**B 79** /2 = Theofrastos, De caus. plant. I, 7, 1

τὰ δὲ σπέρματα πάντων ἔχει τινὰ τροφὴν ἐν αὑτοῖς, ἣ συναποτίκτεται τῆι ἀρχῆι καθάπερ ἐν τοῖς ὠιοῖς. ἧι καὶ οὐ κακῶς Ἐμπεδοκλῆς εἴρηκε φάσκων ὠιοτοκεῖν μακρὰ δένδρεα· παραπλησία γὰρ τῶν σπερμάτων ἡ φύσις τοῖς ὠιοῖς.

**B 80** = Plútarchos, Quaestiones conv. V, 8, 2-3; 683d

ταῦτα μὲν οὖν ἔφαμεν ἡμεῖς μετρίως λέγεσθαι· τοῦ δ᾽ Ἐμπεδοκλέους εἰρηκότος

οὕνεκεν ὀψίγονοί τε σίδαι καὶ ὑπέρφλοια μῆλα

τὸ μὲν τῶν σιδῶν ἐπίθετον νοεῖν, ὅτι τοῦ φθινοπώρου λήγοντος ἤδη καὶ τῶν καυμάτων μαραινομένων ἐκπέττουσι τὸν καρπόν· ἀσθενῆ γὰρ αὐτῶν τὴν ὑγρότητα καὶ γλίσχραν οὖσαν οὐκ ἐᾶι λαβεῖν σύστασιν ὁ ἥλιος (...) τὰ δὲ μῆλα καθ᾽ ἥντινα διάνοιαν ὁ σοφὸς ὑπέρφλοια προσειρήκοι, διαπορεῖν (...)

(3) εἰπόντος οὖν ἐμοῦ ταῦτα γραμματικοί τινες ἔφασαν ὑπέρφλοια λελέχθαι τὰ μῆλα διὰ τὴν ἀκμήν· τὸ γὰρ ἄγαν ἀκμάζειν καὶ τεθηλέναι φλοίειν ὑπὸ τῶν ποιητῶν λέγεσθαι. ἐπεὶ τοίνυν μάλιστα τῶν καρπῶν ἡ χλωρότης καὶ τὸ τεθηλέναι τῶι μήλωι παραμένει, ὑπέρφλοιον αὐτὸ τὸν φιλόσοφον προσαγορεῦσαι.

**B 81**

οἶνος ἀπὸ φλοιοῦ πέλεται σαπὲν ἐν ξύλωι ὕδωρ.

**B 81** /1 = Plútarchos, Quaest. natur. 2; 912c

τῶν δ᾽ ὀμβρίων τὸ εὔτρεπτον αἱ σήψεις κατηγοροῦσιν, εὐσηπτότερα γάρ ἐστι τῶν ποταμίων καὶ φρεατιαίων· ἡ δὲ πέψις ἔοικεν εἶναι σῆψις ὡς Ἐμπεδοκλῆς μαρτυρεῖ λέγων

οἶνος ἀπὸ φλοιοῦ πέλεται σαπὲν ἐν ξύλωι ὕδωρ.

**B 81** /2 = Plútarchos, Quaest. natur. 31; 919c

ἢ φύ<σει σηπτικὸν> τὸ οἰνῶδές ἐστιν ὥς φησιν Ἐμπεδοκλῆς

οἶνον ἀπὸ φλοιοῦ πέλεσθαι σαπὲν ἐν ξύλωι ὕδωρ.

**B 81** /3 = Aristotelés, Topica IV, 5; 127a 17

ὁμοίως δ᾽ οὐδ᾽ ὁ οἶνός ἐστιν ὕδωρ σεσηπός, καθάπερ Ἐμπεδοκλῆς φησι

„σαπὲν ὕδωρ“.

ἁπλῶς γὰρ οὐκ ἔστιν ὕδωρ.

**B 82** = Aristotelés, Meteorologica IV, 9; 387b 4

ταὐτὰ τρίχες καὶ φύλλα καὶ οἰωνῶν πτερὰ πυκνά
καὶ λεπίδες γίγνονται ἐπὶ στιβαροῖσι μέλεσσιν.

**B 83** = Plútarchos, De fort. 3; 98d

τὰ μὲν γὰρ ὥπλισται κέρασι καὶ ὀδοῦσι καὶ κέντροις,

αὐτὰρ ἐχίνοις
ὀξυβελεῖς χαῖται νώτοις ἐπιπεφρίκασι.

**B 84**

ὡς δ᾽ ὅτε τις πρόοδον νοέων ὡπλίσσατο λύχνον
χειμερίην διὰ νύκτα, πυρὸς σέλας αἰθομένοιο,

ἅψας παντοίων ἀνέμων λαμπτῆρας ἀμοργούς,
οἵ τ᾽ ἀνέμων μὲν πνεῦμα διασκιδνᾶσιν ἀέντων,
φῶς δ᾽ ἔξω διαθρῶισκον, ὅσον ταναώτερον ἦεν,
λάμπεσκεν κατὰ βηλὸν ἀτειρέσιν ἀκτίνεσσιν·
ὣς δὲ τότ᾽ ἐν μήνιγξιν ἐεργμένον ὠγύγιον πῦρ
λεπτῆισίν <τ᾽> ὀθόνηισι λοχάζετο κύκλοπα κούρην,
<αἳ> χοάνηισι δίαντα τετρήατο θεσπεσίηισιν·
αἳ δ᾽ ὕδατος μὲν βένθος ἀπέστεγον ἀμφιναέντος,
πῦρ δ᾽ ἔξω διίεσκον, ὅσον ταναώτερον ἦεν.

**B 84** /1 = Aristotelés, De sensu 2; 437b 23

᾽Εμπεδοκλῆς δ᾽ ἔοικε νομίζοντι ὁτὲ μὲν ἐξιόντος τοῦ φωτός, ὥσπερ εἴρηται πρότερον, βλέπειν. λέγει γοῦν οὕτως·

„ὡς ... ἦεν“,

ὁτὲ μὲν οὕτως ὁρᾶν φησιν, ὁτὲ δὲ ταῖς ἀπορροίαις ταῖς ἀπὸ τῶν ὁρωμένων.

**B 84** /2 = Alexandros, In De sensu p. 23, 8 Wendland

καὶ πρῶτόν γε παρατίθεται αὐτοῦ τὰ ἔπη, δι᾽ ὧν ἡγεῖται καὶ αὐτὸς πῦρ εἶναι τὸ φῶς καὶ τοῦτο ἐκ τῶν ὀφθαλμῶν προχεῖσθαί τε καὶ ἐκπέμπεσθαι καὶ τούτωι τὸ ὁρᾶν γίνεσθαι. ἀπεικάζει γὰρ διὰ τῶν ἐπῶν τὸ ἐκπεμπόμενον ἀπὸ τῆς ὄψεως φῶς τῶι διὰ τῶν λυχνούχων φωτί. ὡς γὰρ ὁδοιπορεῖν τις νυκτὸς μέλλων λύχνον παρασκευασάμενος ἐντίθησιν εἰς λαμπτῆρα (ὁ γὰρ λαμπτὴρ τὰ μὲν ἔξωθεν πνεύματα ἀπείργει τε καὶ κωλύει, τοῦ δὲ πυρὸς τὸ λεπτότατον εἰς τὸ ἔξω διίησιν, ὅπερ ἐστὶ φῶς), οὕτω, φησίν, καὶ ἐν ταῖς μήνιγξι καθειργόμενον τὸ πῦρ ὑπὸ λεπτῶν ὑμένων περιέχεται, οἳ τὰ μὲν ἔξωθεν προσπίπτοντα λυμαντικὰ τοῦ πυρὸς ἀπείργουσι καὶ οὐκ ἐῶσιν ἐνοχλεῖν τῆι κόρηι, τὸ δὲ λεπτότατον τοῦ πυρὸς εἰς τὸ ἔξω διιᾶσιν. ἀμουργοὺς δὲ τοὺς λαμπτῆρας λέγοι ἂν τοὺς ἀπειρκτικοὺς ἀπὸ τοῦ

ἀπερύκειν τὰ πνεύματα καὶ σκέπειν τὸ περιεχόμενον ὑπ᾽ αὐτῶν πῦρ· ἢ ἀμουργοὺς τοὺς πυκνοὺς καὶ διὰ πυκνότητα ἀπερύκοντας τὰ πνεύματα. ταναὸν δὲ τὸ πῦρ τὸ διὰ λεπτότητα τεινόμενόν τε καὶ διεκπίπτειν διὰ τῶν πυκνῶν δυνάμενον. κατὰ βηλὸν δὲ κατὰ τὸν οὐρανόν. Ὅμηρος „ῥίπτασκεν τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ᾽ ἂν ἵκηται γῆν ὀλιγηπελέων“ (O 23). λεπτῆισι δὲ ὀθόνησιν ἐχεύατο κύκλοπα κούρην εἶπεν ἀντὶ τοῦ „λεπτοῖς ὑμέσι περιέλαβε τὴν κυκλοτερῆ κόρην“, πρὸς τὸ ὄνομα τῆς κόρης χρησάμενος ποιητικῶς ταῖς ὀθόναις ἀντὶ τῶν ὑμένων. δείξας δὲ αὐτὸν διὰ τούτων τῶν ἐπῶν ταῦτα λέγοντα, προστίθησι τὸ „ότὲ μὲν οὕτως ὁρᾶν φησιν, ότὲ δὲ ταῖς ἀπορροίαις ταῖς ἀπὸ τῶν ὁρωμένων“ ἀπορρεῖν τινα, ἃ προσπίπτοντα τῆι ὄψει, ὅταν ἐναρμόσηι τοῖς ἐν αὐτῆι πόροις τῶι εἶναι σύμμετρα, εἴσω τε χωρεῖν καὶ οὕτως τὸ ὁρᾶν γίνεσθαι. ταύτης τῆς δόξης καὶ Πλάτων μνημονεύει ὡς οὔσης Ἐμπεδοκλέους ἐν Μένωνι (A 92) καὶ ὁρίζεται κατὰ τὴν δόξαν τὴν ἐκείνου τὸ χρῶμα ἀπορροὴν σωμάτων ὄψει σύμμετρον καὶ αἰσθητήν.

**B 85** = Simplikios, In Physica 331, 3

καὶ τὰ μόρια τῶν ζώιων ἀπὸ τύχης γενέσθαι τὰ πλεῖστά φησιν ὡς ὅταν λέγηι „ἡ δὲ χθὼν ... μάλιστα“ (B 98.1). καὶ πάλιν

ἡ δὲ φλὸξ ἱλάειρα μινυνθαδίης τύχε γαίης

καὶ ἐν ἄλλοις „Κύπριδος ... τυχόντα“ (B 75.2). καὶ πολλὰ ἄν τις εὕροι ἐκ τῶν Ἐμπεδοκλέους Φυσικῶν τοιαῦτα παραθέσθαι.

**B 86** = Simplikios, In De caelo 529, 21

ἀλλὰ καὶ περὶ γενέσεως τῶν ὀφθαλμῶν τῶν σωματικῶν τούτων λέγων ἐπήγαγεν·

ἐξ ὧν ὄμματ᾽ ἔπηξεν ἀτειρέα δῖ᾽ Ἀφροδίτη.

**B 87** = Simplikios, In De caelo 529, 24

καὶ μετ᾽ ὀλίγον·

γόμφοις ἀσκήσασα καταστόργοις ᾿Αφροδίτη.

**B 88**

μία γίγνεται ἀμφοτέρων ὄψ.

**B 88** /1 = Aristotelés, Poetica 21; 1458a 4

ἀφῃρημένον δὲ οἷον τὸ κρῖ καὶ τὸ δῶ καὶ „μία ... ὄψ“.

**B 88** /2 = Strabón, Geographica VIII, 5, 3; p. 364 Meineke

παρ᾿ ᾿Εμπεδοκλεῖ δὲ „μία ... ὄψ“, ἡ ὄψις.

**B 89** = Plútarchos, Quaestiones natur. 19; 916d

σκόπει δὴ κατ᾿ ᾿Εμπεδοκλέα

γνούς, ὅτι πάντων εἰσὶν ἀπορροαί, ὅσσ᾿ ἐγένοντο ...

οὐ γὰρ ζώιων μόνον οὐδὲ φυτῶν οὐδὲ γῆς καὶ θαλάττης, ἀλλὰ καὶ λίθων ἄπεισιν ἐνδελεχῶς πολλὰ ῥεύματα καὶ χαλκοῦ καὶ σιδήρου· καὶ γὰρ φθείρεται πάντα καὶ ὄλωλε τῶι ῥεῖν ἀεί τι καὶ φέρεσθαι συνεχῶς.

**B 90**

ὣς γλυκὺ μὲν γλυκὺ μάρπτε, πικρὸν δ' ἐπὶ πικρὸν ὄρουσεν,
ὀξὺ δ' ἐπ' ὀξὺ ἔβη, δαερὸν δ' ἐποχεῖτο δαηρῶι.

**B 90** /1 = Plútarchos, Quaestiones conviv. IV 1, 3; 663a

εἴτε γὰρ ἐξ ὁμοίων ἀναλαμβάνει τὸ οἰκεῖον ἡ φύσις καὶ εἰς τὸν ὄγκον αὐτόθεν ἡ ποικίλη τροφὴ πολλὰς μεθιεῖσα ποιότητας ἐξ ἑαυτῆς ἑκάστωι μέρει τὸ πρόσφορον ἀναδίδωσιν· ὥστε γίγνεσθαι τὸ τοῦ ᾿Εμπεδοκλέους „ὡς γλυκὺ ... ἐπ᾿ ὀξὺ δαλερὸν δαλεροῦ“ (...)

**B 90** /2 = Macrobius, Sat. VII, 5, 17

scimus autem similibus similia nutriri (...) singula ad se similitudinem sui rapere testis Empedocles qui ait

„ὡς ... ἔβη, θερμὸν δ᾽ ἐποχεύετο θερμῶι“.

**B 91** = Alexandros, Quaest. II, 23

ὕδωρ

οἴνωι ... μᾶλλον ἐνάρθμιον, αὐτὰρ ἐλαίωι
οὐκ ἐθέλει.

**B 92** = Aristotelés, De generatione animal. II, 8; 747a 34

᾽Εμπεδοκλῆς δ᾽ αἰτιᾶται τὸ μεῖγμα τὸ τῶν σπερμάτων γίνεσθαι πυκνὸν ἐκ μαλακῆς τῆς γονῆς οὔσης ἑκατέρας· συναρμόττειν γὰρ τὰ κοῖλα τοῖς πυκνοῖς ἀλλήλων, ἐκ δὲ τῶν τοιούτων γίνεσθαι ἐκ μαλακῶν σκληρὸν ὥσπερ τῶι καττιτέρωι μειχθέντα τὸν χαλκόν, λέγων οὔτ᾽ ἐπὶ τοῦ χαλκοῦ καὶ τοῦ καττιτέρου τὴν αἰτίαν ὀρθῶς (...) οὔθ᾽ ὅλως ἐκ γνωρίμων ποιούμενος τὰς ἀρχάς. τὰ γὰρ κοῖλα καὶ τὰ στερεὰ ἁρμόττοντα ἀλλήλοις πῶς ποιεῖ τὴν μίξιν οἷον οἴνου καὶ ὕδατος;

**B 93** = Plútarchos, De defectu orac. 41; 433b

ἄλλα γὰρ ἄλλοις οἰκεῖα καὶ πρόσφορα καθάπερ τῆς μὲν πορφύρας ὁ κυανὸς τῆς δὲ κόκκου τὸ νίτρον δοκεῖ τὴν βαφὴν ἄγειν μεμιγμένον,

βύσσωι δὲ γλαυκῆς κόκκος καταμίσγεται ἀκτῆς,

ὡς ᾽Εμπεδοκλῆς εἴρηκε.

**B 94** = Plútarchos, Quaestiones natur. 39

cur aqua in summa parte alba, in fundo vero nigra spectatur? an quod profunditas nigredinis mater est, ut quae solis radios prius quam ad eam descendant, obtundat et labefactet? superficies autem quoniam continuo a sole afficitur, candorem luminis recipiat oportet. quod ipsum et Empedocles approbat:

et niger in fundo fluvii color exstat ab umbra,
atque cavernosis itidem spectatur in antris.

**B 95** = Simplikios, In De caelo 529, 26

καὶ τὴν αἰτίαν λέγων τοῦ τοὺς μὲν ἐν ἡμέραι τοὺς δὲ ἐν νυκτὶ κάλλιον ὁρᾶν

Κύπριδος, - φησίν, - ἐν παλάμῃσιν ὅτε ξὺμ πρῶτ᾽ ἐφύοντο.

**B 96**

ἡ δὲ χθὼν ἐπίηρος ἐν εὐστέρνοις χοάνοισι
τὼ δύο τῶν ὀκτὼ μερέων λάχε Νήστιδος αἴγλης,
τέσσαρα δ᾽ Ἡφαίστοιο· τὰ δ᾽ ὀστέα λευκὰ γένοντο
Ἁρμονίης κόλλῃσιν ἀρηρότα θεσπεσίηθεν.

**B 96** /1 = Simplikios, In Physica 300, 19

καὶ γὰρ λόγωι τινὶ ποιεῖ σάρκας καὶ ὀστοῦν καὶ τῶν ἄλλων ἕκαστον. λέγει γοῦν ἐν τῶι πρώτωι τῶν Φυσικῶν· „ἡ ... θεσπεσίηθεν“ τουτέστιν ἀπὸ τῶν θείων αἰτίων καὶ μάλιστα τῆς Φιλίας ἤτοι Ἁρμονίας· ταῖς γὰρ ταύτης κόλλαις ἁρμόζεται.

**B 96** /2 = Aristotelés, De anima I, 5; 410a1

οὐ γὰρ ὁπωσοῦν ἔχοντα τὰ στοιχεῖα τούτων ἕκαστον ἀλλὰ λόγωι τινὶ καὶ συνθέσει, καθάπερ φησὶ Ἐμπεδοκλῆς τὸ ὀστοῦν·

„ἡ ... γένοντο“.

**B 96** /3 = Simplikios, In De anima 68, 5 Hayduck

„ἐπίηρος“ δέ, τουτέστιν ἐναρμόνιος, εἴρηται ἡ γῆ ὡς κύβος κατὰ τὴν Πυθαγόρειον παράδοσιν· τὸν γὰρ κύβον διὰ τὸ δώδεκα μὲν ἔχειν πλευρὰς ὀκτὼ δὲ γωνίας ἓξ δὲ ἐπίπεδα τὴν ἁρμονικὴν ποιοῦντα ἀναλογίαν ἁρμονίαν ἐκάλουν.

„χόανα“ δὲ καὶ παρὰ τῶι ποιητῆι, ἐν οἷς ἡ τῶν μιγνυμένων γίνεται κρᾶσις, ἀγγεῖα· „φῦσαι δ᾽ ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων“, ἃ καὶ „εὔστερνα“ ὡς πλατέα διὰ τὸ χωρητικὸν καλεῖ. μίγνυσι δὲ πρὸς τὴν τῶν ὀστῶν γένεσιν τέσσαρα μὲν πυρὸς μέρη, διὰ τὸ ξηρὸν καὶ λευκὸν χρῶμα ἴσως πλείστου λέγων αὐτὰ μετέχειν πυρός, δύο δὲ γῆς καὶ ἓν μὲν ἀέρος ἓν δὲ ὕδατος, ἃ δὴ ἄμφω „νῆστιν αἴγλην“ προσαγορεύει, νῆστιν μὲν διὰ τὸ ὑγρὸν ἀπὸ τοῦ νάειν καὶ ῥεῖν, αἴγλην δὲ ὡς διαφανῆ.

**B 97** = Aristotelés, De partibus animal. I, 1; 640a 18

ἡ γὰρ γένεσις ἕνεκα τῆς οὐσίας ἐστίν, ἀλλ᾽ οὐχ ἡ οὐσία ἕνεκα τῆς γενέσεως. διόπερ Ἐμπεδοκλῆς οὐκ ὀρθῶς εἴρηκε λέγων ὑπάρχειν πολλὰ τοῖς ζώιοις διὰ τὸ συμβῆναι οὕτως ἐν τῆι γενέσει οἷον καὶ τὴν ῥάχιν τοιαύτην ἔχειν ὅτι στραφέντος καταχθῆναι συνέβη.

**B 98** /1 = Simplikios, In Physica 32, 3

καλεῖ δὲ τὸ μὲν πῦρ καὶ Ἥφαιστον (B 96, 3) καὶ ἥλιον (21, 3 et al.) καὶ φλόγα (85), τὸ δὲ ὕδωρ ὄμβρον (73, 1), τὸν δὲ ἀέρα αἰθέρα (100, 7). λέγει οὖν πολλαχοῦ μὲν ταῦτα καὶ ἐν τούτοις δὲ τοῖς ἔπεσιν

ἡ δὲ χθὼν τούτοισιν ἴση συνέκυρσε μάλιστα,
Ἡφαίστωι τ᾽ ὄμβρωι τε καὶ αἰθέρι παμφανόωντι,
Κύπριδος ὁρμισθεῖσα τελείοις ἐν λιμένεσσιν,
εἴτ᾽ ὀλίγον μείζων εἴτε πλεόνεσσιν (?) ἐλάσσων·
ἐκ τῶν αἷμά τε γέντο καὶ ἄλλης εἴδεα σαρκός.

Cfr. Aetios V, 22 (= A 78)

**B 98** /2 = Simplikios, In Physica 331, 3

καὶ τὰ μόρια τῶν ζώιων ἀπὸ τύχης γενέσθαι τὰ πλεῖστά φησιν ὡς ὅταν λέγηι

ἡ δὲ χθὼν τούτοισιν ἴση συνέκυρσε μάλιστα.

Cfr. Aetios V, 22 (= A 78)

**B 98** /2 = Simplikios, In Physica 331, 3

καὶ τὰ μόρια τῶν ζώιων ἀπὸ τύχης γενέσθαι τὰ πλεῖστά φησιν ὡς ὅταν λέγηι „ἡ δὲ ... μάλιστα“.

**B 99** = Theofrastos, De sens. 9 (A 86)

κώδων. σάρκινος ὄζος.

**B 100**

ὧδε δ᾽ ἀναπνεῖ πάντα καὶ ἐκπνεῖ· πᾶσι λίφαιμοι
σαρκῶν σύριγγες πύματον κατὰ σῶμα τέτανται,
καί σφιν ἐπὶ στομίοις πυκιναῖς τέτρηνται ἄλοξιν
ῥινῶν ἔσχατα τέρθρα διαμπερές, ὥστε φόνον μέν
κεύθειν, αἰθέρι δ᾽ εὐπορίην διόδοισι τετμῆσθαι.
ἔνθεν ἔπειθ᾽ ὁπόταν μὲν ἀπαΐξηι τέρεν αἷμα,
αἰθὴρ παφλάζων καταΐσσεται οἴδματι μάργωι,
εὖτε δ᾽ ἀναθρώισκηι, πάλιν ἐκπνέει, ὥσπερ ὅταν παῖς
κλεψύδρηι παίζουσα διειπετέος χαλκοῖο –
εὖτε μὲν αὐλοῦ πορθμὸν ἐπ᾽ εὐειδεῖ χερὶ θεῖσα
εἰς ὕδατος βάπτηισι τέρεν δέμας ἀργυφέοιο,
οὐδεὶς ἄγγοσδ᾽ ὄμβρος ἐσέρχεται, ἀλλά μιν εἴργει
ἀέρος ὄγκος ἔσωθε πεσὼν ἐπὶ τρήματα πυκνά,
εἰσόκ᾽ ἀποστεγάσηι πυκινὸν ῥόον· αὐτὰρ ἔπειτα
πνεύματος ἐλλείποντος ἐσέρχεται αἴσιμον ὕδωρ.
ὣς δ᾽ αὔτως, ὅθ᾽ ὕδωρ μὲν ἔχηι κατὰ βένθεα χαλκοῦ
πορθμοῦ χωσθέντος βροτέωι χροῒ ἠδὲ πόροιο,

αἰθὴρ δ᾽ ἐκτὸς ἔσω λελιημένος ὄμβρον ἐρύκει,
ἀμφὶ πύλας ἠθμοῖο δυσηχέος ἄκρα κρατύνων,
εἰσόκε χειρὶ μεθῆι, τότε δ᾽ αὖ πάλιν, ἔμπαλιν ἢ πρίν,
πνεύματος ἐμπίπτοντος ὑπεκθέει αἴσιμον ὕδωρ.
ὣς δ᾽ αὔτως τέρεν αἷμα κλαδασσόμενον διὰ γυίων
ὁππότε μὲν παλίνορσον ἀπαΐξειε μυχόνδε,
αἰθέρος εὐθὺς ῥεῦμα κατέρχεται οἴδματι θῦον,
εὖτε δ᾽ ἀναθρώισκηι, πάλιν ἐκπνέει ἶσον ὀπίσσω.

**B 100** /1 = Aristotelés, De respiratione 7; 473a 15

λέγει δὲ περὶ ἀναπνοῆς καὶ ᾿Εμπεδοκλῆς, οὐ μέντοι τίνος γ᾽ ἕνεκα οὐδὲ περὶ πάντων τῶν ζώιων οὐδὲν ποιεῖ δῆλον εἴτε ἀναπνέουσιν εἴτε μή. καὶ περὶ τῆς διὰ τῶν μυκτήρων ἀναπνοῆς λέγων (V, 4) οἴεται καὶ περὶ τῆς κυρίας λέγειν ἀναπνοῆς ...

**B 100** /2 = Aristotelés, De respiratione 7; 473b 1

γίνεσθαι δέ φησι τὴν ἀναπνοὴν καὶ ἐκπνοὴν διὰ τὸ φλέβας εἶναί τινας, ἐν αἷς ἔνεστι μὲν αἷμα, οὐ μέντοι πλήρεις εἰσὶν αἵματος (V. 1), ἔχουσι δὲ πόρους εἰς τὸν ἔξω ἀέρα, τῶν μὲν τοῦ σώματος μορίων ἐλάττους, τῶν δὲ τοῦ ἀέρος μείζους· διὸ τοῦ αἵματος πεφυκότος κινεῖσθαι ἄνω καὶ κάτω, κάτω μὲν φερομένου εἰσρεῖν τὸν ἀέρα καὶ γίνεσθαι ἀναπνοήν, ἄνω δ᾽ ἰόντος ἐκπίπτειν θύραζε καὶ γίνεσθαι τὴν ἐκπνοήν, παρεικάζων τὸ συμβαῖνον ταῖς κλεψύδραις·

**B 101**

κέρματα θηρείων μελέων μυκτῆρσιν ἐρευνῶν,
<ζώονθ᾽> ὅσσ᾽ (?) ἀπέλειπε ποδῶν ἁπαλῆι περὶ ποίηι ...

**B 101** /1 = Plútarchos, De curios. 11; 520e

καὶ καθάπερ οἱ κυνηγοὶ τοὺς σκύλακας οὐκ ἐῶσιν ἐκτρέπεσθαι καὶ διώκειν πᾶσαν ὀδμήν, ἀλλὰ τοῖς ῥυτῆρσιν ἕλκουσι καὶ ἀνακρούουσι καθαρὸν αὐτῶν φυλάττοντες καὶ ἄκρατον τὸ αἰσθητήριον ἐπὶ τὸ οἰκεῖον ἔργον, ἵν᾽ εὐτονώτερον ἐμφύηται τοῖς ἴχνεσι

„τέρματα ... ἐρευνῶν“, οὕτω ...

**B 101** /2 = Ders., Quaest. natur. 23; 917e

πότερον αἱ κύνες, ὥς φησιν ὁ Ἐμπεδοκλῆς,

„κέμματα ... ἐρευνῶσαι“

τὰς ἀπορροὰς ἀναλαμβάνουσιν, ἃς ἐναπολείπει τὰ θηρία τῆι ὕληι, ταύτας δὲ τοῦ ἔαρος ἐξαμαυροῦσι καὶ συγχέουσιν αἱ πλεῖσται τῶν φυτῶν καὶ τῶν ὑλημάτων ὀσμαί ...

**B 101** /3 = Alexandros, q. f. problem. III, 102; 22, 7 Usener

διὰ τί αἱ κύνες οὐκ ὀσφραίνουσι τῶν ἰχνῶν, ὅταν ἀποθάνηι δασύπους) ζῶντος μὲν οὖν διὰ τὸ συνεχῆ εἶναι τὴν ὀσμὴν ἀπὸ τοῦ θηρίου αἰσθάνονται, τεθνεῶτος δὲ πέπαυται ῥέουσα· οὐ γὰρ καταλείπει, ὥσπερ Ἐμπεδοκλῆς, ὡς

„ἀπέλειπε ... περιποία“,

οὐχ οἷόν τε γὰρ διασπᾶσθαι τὴν ὀσμὴν οὐδὲ τὴν χρόαν, ἀλλ᾽ ὅταν ἀποθάνηι κἀκεῖνα καὶ αὐτὴ ἔφθαρται.

**B 101** /4 = Anonym. in Plat. Theaetet. 70, 48

Ἐμπεδοκλῆς ἀπορροὰς ἀπολείπει καί φησιν, ὅτι ἀνιχνεύουσι οἱ κύνες

„κέρματ<α θηρείων> μελέων“.

<ἀδύνατον δὲ> τοῦτό γ᾽ ὅτ<αν ἦι ἀπο>θνήσκον<τα τὰ ζῶια>.

**B 102** = Theofrastos, De sensu 31 (A 86)

ὧδε μὲν οὖν πνοιῆς τε λελόγχασι πάντα καὶ ὀσμῶν.

**B 103** = Simplikios, In Physica 331, 10

καὶ πολλὰ ἄν τις εὕροι ἐκ τῶν Ἐμπεδοκλέους Φυσικῶν τοιαῦτα παραθέσθαι ὥσπερ καὶ τοῦτο·

τῆιδε μὲν οὖν ἰότητι Τύχης πεφρόνηκεν ἅπαντα.

**B 104** = Simplikios, In Physica 331, 13

καὶ μετ᾽ ὀλίγον·

καὶ καθ᾽ ὅσον μὲν ἀραιότατα ξυνέκυρσε πεσόντα ...

**B 105** = Pofyrios, De Styge in: Stobaios, Anthologium I, 49, 53; 424, 14 W.

Ἐμπεδοκλῆς τε οὕτω φαίνεται ὡς ὀργάνου πρὸς σύνεσιν τοῦ αἵματος ὄντος λέγειν

αἵματος ἐν πελάγεσσι τεθραμμένη ἀντιθορόντος,
τῆι τε νόημα μάλιστα κικλήσκεται ἀνθρώποισιν·
αἷμα γὰρ ἀνθρώποις περικάρδιόν ἐστι νόημα.

**B 106**

πρὸς παρεὸν γὰρ μῆτις ἀέξεται ἀνθρώποισιν.

**B 106** /1 = Aristotelés, De anima III, 4; 427a 21

οἵ γε ἀρχαῖοι τὸ φρονεῖν καὶ τὸ αἰσθάνεσθαι ταὐτὸν εἶναί φασιν, ὥσπερ καὶ Ἐμπεδοκλῆς εἴρηκε „πρὸς ... ἀνθρώποισιν“ καὶ ἐν ἄλλοις „ὅθεν ... παρίσταται“ (B 108).

**B 106** /2 = Aristotelés, Metaphysica IV, 5; 1009b 17

Ἐμπεδοκλῆς μεταβάλλοντας τὴν ἕξιν μεταβάλλειν φησὶ τὴν φρόνησιν

„πρὸς ... ἀνθρώποισιν“.

καὶ ἐν ἑτέροις δὲ λέγει ὅτι „ὅσσον ... παρίστατο“ (B 108).

**B 107** = Theofrastos, De sensu 10 (A 86)

ἐκ τούτων <γὰρ> πάντα πεπήγασιν ἁρμοσθέντα
καὶ τούτοις φρονέουσι καὶ ἥδοντ᾽ ἠδ᾽ ἀνιῶνται.

**B 108**

ὅσσον <γ᾽> ἀλλοῖοι μετέφυν, τόσον ἄρ σφισιν αἰεί
καὶ τὸ φρονεῖν ἀλλοῖα παρίσταται ...

**B 108** /1 = Aristotelés, Metaphysica IV, 5; 1009b 17-22

καὶ γὰρ Ἐμπεδοκλῆς μεταβάλλοντας τὴν ἕξιν μεταβάλλειν φησὶ τὴν φρόνησιν· „πρὸς παρεὸν γὰρ μῆτις ἐναύξεται ἀνθρώποισιν“. καὶ ἐν ἑτέροις δὲ λέγει ὅτι „ὅσσον <δ᾽> ἀλλοῖοι μετέφυν, τόσον ἄρ σφισιν αἰεὶ καὶ τὸ φρονεῖν ἀλλοῖα παρίστατο“.

**B 108** /2 = Aristotelés, De anima III, 3; 427 a 24

καὶ ἐν ἄλλοις „ὅθεν σφίσιν ... παρίστατα“᾽.

**B 108** /3 = Filoponos, In De anima 486, 13 St.

ὁ γὰρ Ἐμπεδοκλῆς τὰς διαφορὰς τῶν ὀνειράτων λέγων φησὶν ὅτι ἐκ τῶν καθ᾽ ἡμέραν ἐνεργημάτων αἱ νυκτεριναὶ γίνονται φαντασίαι· ταύτην δὲ τὴν φαντασίαν φρόνησιν καλεῖ ἐν οἷς φησιν „ὅθεν ... παρίσταται“.

**B 108** /4 = Simplikios, In De anima 202, 30 Hayduck

καὶ <τὸ φρονεῖν> ἐν τοῖς <ὀνείροις ἀλλοῖα παρίσταται> (...) ὅσσον <γ'> ἀλλοῖοι μετέφυν, τόσον ἄρ σφισιν αἰεί καὶ τὸ φρονεῖν ἀλλοῖα παρίσταται ...

Cfr. Alexandros, In Metaphysica 306,24 Hayduck; Herod. VII, 16, 2; Hippokratés, De morbo sacro 17

**B 109**

γαίηι μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ᾽ ὕδωρ,
αἰθέρι δ᾽ αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀίδηλον,
στοργὴν δὲ στοργῆι, νεῖκος δέ τε νείκεϊ λυγρῶι.

**B 109** /1 = Aristotelés, De anima I, 2; 404b 8

ὅσοι δ᾽ ἐπὶ τὸ γινώσκειν καὶ τὸ αἰσθάνεσθαι τῶν ὄντων (σχ. ἀπέβλεψαν), οὗτοι δὲ λέγουσι τὴν ψυχὴν τὰς ἀρχάς, οἱ μὲν πλείους ποιοῦντες οἱ δὲ μίαν ταύτην, ὥσπερ Ἐμπεδοκλῆς μὲν ἐκ τῶν στοιχείων πάντων, εἶναι δὲ καὶ ἕκαστον ψυχὴν τούτων λέγων οὕτω· „γαίηι ... λυγρῶι".

**B 109** /2 = Aristotelés, Metaphysica III, 4; 1000b 5

τὸ γὰρ νεῖκος οὖκ ἔχει, ἡ δὲ γνῶσις τοῦ ὁμοίου τῶι ὁμοίωι· „γαίηι μὲν γάρ", φησί, „γαῖαν ... λυγρῶι".

**B 109a** = Papyr. Oxyrh. 1609 XIII, 94

δοκῆι δὲ ἐκεῖ φαίνεσθαι· οὐ γὰρ ἐπ᾽ ἐκείνου τοῦ κατόπτρου ὁρᾶται, ἀλλ᾽ ἡ ἀνάκλασις ἐπὶ τὸν ὁρῶντα. περὶ μὲν οὖν τούτων ἐν τοῖς εἰς τὸν Τίμαιον εἴρηται. οὐ δεῖ δὲ εἴδωλον τοιοῦτον ἀκούειν οἷον τὸ κατὰ Δημόκριτον ἢ Ἐπίκουρον ἢ ὡς Ἐμπεδοκλῆς ἀπορροὰς φαίη ἂν ἀπιέναι ἀπὸ ἑκάστου τῶν κατοπτριζομένων καὶ τ<οῖς> <ὄμμασιν ὥσ>περ ἐούσας <εἰκόνας ἐναρμόζεσθαι>.

**B 110**

εἰ γάρ κέν σφ᾽ ἀδινῆισιν ὑπὸ πραπίδεσσιν ἐρείσας
εὐμενέως καθαρῆισιν ἐποπτεύσῃς μελέτηισιν,

ταῦτά τέ σοι μάλα πάντα δι᾿ αἰῶνος παρέσονται,
ἄλλα τε πόλλ᾿ ἀπὸ τῶνδ᾿ ἐκτήσεαι· αὐτὰ γὰρ αὔξει
ταῦτ᾿ εἰς ἦθος ἕκαστον, ὅπη φύσις ἐστὶν ἑκάστωι.
εἰ δὲ σύ γ᾿ ἀλλοίων ἐπορέξεαι, οἷα κατ᾿ ἄνδρας
μυρία δειλὰ πέλονται ἅ τ᾿ ἀμβλύνουσι μερίμνας,
ἦ σ᾿ ἄφαρ ἐκλείψουσι περιπλομένοιο χρόνοιο
σφῶν αὐτῶν ποθέοντα φίλην ἐπὶ γένναν ἱκέσθαι·
πάντα γὰρ ἴσθι φρόνησιν ἔχειν καὶ νώματος αἶσαν.

**B 110** /1 = Hippolytos Rom., Refutationes VII, 29; p. 214 W.
τοιαύτη τις ἡ κατὰ τὸν ᾿Εμπεδοκλέα ἡμῖν ἡ τοῦ κόσμου γένεσις καὶ φθορὰ καὶ σύστασις ἐξ ἀγαθοῦ καὶ κακοῦ συνεστῶσα φιλοσοφεῖται. εἶναι δέ φησι καὶ νοητὴν τρίτην τινὰ δύναμιν, ἣν καὶ ἐκ τούτων ἐπινοεῖσθαι δύνασθαι, λέγων ὧδέ πως·

„εἰ γὰρ ... αἶσαν“.

**B 110** /2 = Hippolytos Rom., Refutationes VII, 30; p. 216 W.
τοὺς ᾿Εμπεδοκλέους λανθάνεις διδάσκων καθαρμούς (...) λύεις τοὺς ὑπὸ τοῦ θεοῦ συνηρμοσμένους γάμους τοῖς ᾿Εμπεδοκλέους ἀκολουθῶν δόγμασιν, ἵνα σοι φυλαχθῆι τὸ τῆς φιλίας ἔργον ἓν ἀδιαίρετον. διαιρεῖ γὰρ ὁ γάμος κατὰ ᾿Εμπεδοκλέα τὸ ἓν καὶ ποιεῖ πολλά, καθὼς ἀπεδείξαμεν.

**B 110** /3 = Hippolytos Rom., Refutationes VI 12; p. 138 W.
πάντα γάρ, φησίν, ἐνόμιζε τὰ μέρη τοῦ πυρὸς τὰ <ὁρατὰ καὶ τὰ> ἀόρατα φρόνησιν ἔχειν καὶ γνώμην ἴσην (στατt νώματος αἶσαν).

**B 110** /4 = Sextos Empeirikos, Adversus mathematicos VIII, 286
᾿Εμπεδοκλῆς ἔτι παραδοξότερον πάντα ἠξίου λογικὰ τυγχάνειν καὶ οὐ ζῶια μόνον ἀλλὰ καὶ φυτὰ ῥητῶς γράφων „πάντα ... αἶσαν“.

**B 111**

φάρμακα δ᾽ ὅσσα γεγᾶσι κακῶν καὶ γήραος ἄλκαρ
πεύσηι, ἐπεὶ μούνωι σοὶ ἐγὼ κρανέω τάδε πάντα.
παύσεις δ᾽ ἀκαμάτων ἀνέμων μένος οἵ τ᾽ ἐπὶ γαῖαν
ὀρνύμενοι πνοιαῖσι καταφθινύθουσιν ἀρούρας·
καὶ πάλιν, ἢν ἐθέληισθα, παλίντιτα πνεύματ(α) ἐπάξεις·
θήσεις δ᾽ ἐξ ὄμβροιο κελαινοῦ καίριον αὐχμόν
ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου
ῥεύματα δενδρεόθρεπτα, τά τ᾽ αἰθέρι ναιήσονται(?),
ἄξεις δ᾽ ἐξ ᾽Αίδαο καταφθιμένου μένος ἀνδρός.

**B 111** /1 = Diogenés Laertios, Vitae philosophorum VIII, 58-59 (e Satyro)
Γοργίαν γοῦν τὸν Λεοντῖνον αὐτοῦ γενέσθαι μαθητήν, ἄνδρα ὑπερέχοντα ἐν ῥητορικῇ καὶ Τέχνην ἀπολελοιπότα· ὅν φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς (*FGrH* 244 8.59.1F 33) ἐννέα πρὸς τοῖς ἑκατὸν ἔτη βιῶναι. τοῦτόν φησιν ὁ Σάτυρος λέγειν ὡς αὐτὸς παρείη τῷ Ἐμπεδοκλεῖ γοητεύοντι. ἀλλὰ καὶ αὐτὸν διὰ τῶν ποιημάτων ἐπαγγέλλεσθαι τοῦτό τε καὶ ἄλλα πλείω, δι' ὧν φησι· „φάρμακα ... ἀνδρός".

**B 111** /2 = Kléméns Alex., Stromata VI, 30,1-2
Ἐμπεδοκλῆς τε ὁ Ἀκραγαντῖνος Κωλυσανέμας ἐπεκλήθη. λέγεται οὖν ἀπὸ τοῦ Ἀκράγαντος ὄρους πνέοντός ποτε ἀνέμου βαρὺ καὶ νοσῶδες τοῖς ἐγχωρίοις, ἀλλὰ καὶ ταῖς γυναιξὶν αὐτῶν ἀγονίας αἰτίου γινομένου, παῦσαι τὸν ἄνεμον· (2) διὸ καὶ αὐτὸς ἐν τοῖς ἔπεσι γράφει·

παύσεις δ' ἀκαμάτων ἀνέμων μένος οἵ τ' ἐπὶ γαῖαν
ὀρνύμενοι θνητοῖσι καταφθινύθουσιν ἀρούρας·
καὶ πάλιν, εὖτ' ἐθέλησθα, παλίντιτα πνεύματα θήσεις.

*ΚΑΘΑΡΜΟΙ*

**B 112** /1 = Diogenés Laertios, Vitae philosophorum VIII, 62 (= A 1, 62)

ὦ φίλοι, οἳ μέγα ἄστυ κατὰ ξανθοῦ ᾿Ακράγαντος
ναίετ᾿ ἀν᾿ ἄκρα πόλεος, ἀγαθῶν μελεδήμονες ἔργων,
ξείνων αἰδοῖοι λιμένες, κακότητος ἄπειροι,
χαίρετ᾿· ἐγὼ δ᾿ ὑμῖν θεὸς ἄμβροτος, οὐκέτι θνητός
πωλεῦμαι μετὰ πᾶσι τετιμένος, ὥσπερ ἔοικα,
ταινίαις τε περίστεπτος στέφεσίν τε θαλείοις.
τοῖσιν ἅμ᾿ ἂν ἵκωμαι ἄστεα τηλεθάοντα,
ἀνδράσιν ἠδὲ γυναιξί, σεβίζομαι· οἱ δ᾿ ἅμ᾿ ἕπονται
μυρίοι ἐξερέοντες, ὅπηι πρὸς κέρδος ἀταρπός,
οἱ μὲν μαντοσυνέων κεχρημένοι, οἱ δ᾿ ἐπὶ νούσων
παντοίων ἐπύθοντο κλυεῖν εὐηκέα βάξιν,
δηρὸν δὴ χαλεπῆισι πεπαρμένοι <ἀμφ᾿ ὀδύνῃσιν>.

**B 112** /2 = Diogenés Laertios, Vitae philosophorum VIII, 54 (cfr. A 1, 62)

ὅτι δ᾿ ἦν ᾿Ακραγαντῖνος ἐκ Σικελίας αὐτὸς ἐναρχόμενος τῶν Καθαρμῶν φησιν

ὦ φίλοι, οἳ μέγα ἄστυ κατὰ ξανθοῦ ᾿Ακράγαντος
ναίετ᾿ ἀν᾿ ἄκρα πόλεος.

(cfr. Diodóros XIII, 83)

**B 112** /3 = Kléméns Alex., Stromata VI, 30,3

παρακολουθεῖν τε αὐτῷ ἔλεγεν „τοὺς μὲν μαντοσυνῶν κεχρημένους“, τοὺς δ' „ἐπὶ νούσοισι δηρὸν δὴ χαλεπῇσι πεπαρμένους“.

**B 113** = Sextos Empeirikos, Adversus mathematicos I, 302

ἀλλὰ τί τοῖσδ᾽ ἐπίκειμ᾽ ὡσεὶ μέγα χρῆμά τι πράσσων,
εἰ θνητῶν περίειμι πολυφθερέων ἀνθρώπων;

**B 114** = Kléméns Alex., Stromata V, 9,1

Καί μοι σφόδρα ἐπαινεῖν ἔπεισι τὸν Ἀκραγαντῖνον ποιητὴν ἐξυμνοῦντα τὴν πίστιν ὧδέ πως·

ὦ φίλοι, οἶδα μὲν οὕνεκ᾽ ἀληθείη πάρα μύθοις,
οὓς ἐγὼ ἐξερέω· μάλα δ᾽ ἀργαλέη γε τέτυκται
ἀνδράσι καὶ δύσζηλος ἐπὶ φρένα πίστιος ὁρμή.

**B 115**

ἔστιν ᾽Ανάγκης χρῆμα, θεῶν ψήφισμα παλαιόν,
ἀίδιον, πλατέεσσι κατεσφρηγισμένον ὅρκοις·
εὖτέ τις ἀμπλακίῃσι φόνωι φίλα γυῖα μιήνῃ,
<νείκεΐ θ᾽> ὅς κ(ε) ἐπίορκον ἁμαρτήσας ἐπομόσσῃ,
δαίμονες οἵτε μακραίωνος λελάχασι βίοιο,
τρίς μιν μυρίας ὧρας ἀπὸ μακάρων ἀλάλησθαι,
φυομένους παντοῖα διὰ χρόνου εἴδεα θνητῶν
ἀργαλέας βιότοιο μεταλλάσσοντα κελεύθους.
αἰθέριον μὲν γάρ σφε μένος πόντονδε διώκει,
πόντος δ᾽ ἐς χθονὸς οὖδας ἀπέπτυσε, γαῖα δ᾽ ἐς αὐγὰς
ἠελίου φαέθοντος, ὁ δ᾽ αἰθέρος ἔμβαλε δίναις·
ἄλλος δ᾽ ἐξ ἄλλου δέχεται, στυγέουσι δὲ πάντες.
τῶν καὶ ἐγὼ νῦν εἰμι, φυγὰς θεόθεν καὶ ἀλήτης,
νείκεϊ μαινομένωι πίσυνος.

**B 115** /1 = Hippolytos Rom., Refutatio VII, 29, 14-23 Marcovich

καὶ τοῦτό ἐστιν ὃ λέγει περὶ τῆς ἑαυτοῦ γεννήσεως ὁ ᾿Εμπεδοκλῆς

τὴν καὶ ἐγὼ <νῦν> εἶμι, φυγὰς θεόθεν καὶ ἀλήτης,

τουτέστι θεὸν καλῶν τὸ ἓν καὶ τὴν ἐκείνου ἑνότητα, ἐν ὧι ἦν πρὶν ὑπὸ τοῦ Νείκους ἀποσπασθῆναι καὶ γενέσθαι ἐν τοῖς πολλοῖς τούτοις τοῖς κατὰ τὴν τοῦ Νείκους διακόσμησιν· (15) „Νείκεϊ", γάρ φησι, <"μαινομένωι πίσυνος", νεῖκος> μαινόμενον καὶ τεταραγμένον καὶ ἄστατον τὸν δημιουργὸν τοῦδε τοῦ κόσμου ὁ ᾿Εμπεδοκλῆς ἀποκαλῶν. αὕτη γάρ ἐστιν ἡ καταδίκη καὶ ἀνάγκη τῶν ψυχῶν, ὧν ἀποσπᾶι τὸ Νεῖκος ἀπὸ τοῦ ἑνὸς καὶ δημιουργεῖ καὶ ἐργάζεται, λέγων τοιοῦτόν τινα τρόπον·

(16) <ὅρκον θ᾿> ὅς κ᾿ ἐπίορκον ἁμαρτήσας ἐπομόσ<σ>η,

δαίμονες οἵτε μακραίωνος λελάχασι βίοιο

δαίμονας τὰς ψυχὰς λέγων μακραίωνας, ὅτι εἰσὶν ἀθάνατοι καὶ μακροὺς ζῶσιν αἰῶνας· (17) „τρίς μιν μυρίας ὥρας ἀπὸ μακάρων ἀλάλησθαι", μάκαρας καλῶν τοὺς συνηγμένους ὑπὸ τῆς Φιλίας ἀπὸ τῶν πολλῶν εἰς τὴν ἑνότητα τοῦ κόσμου τοῦ νοητοῦ. τούτους οὖν φησιν ἀλάλησθαι καὶ

φυομένους παντοῖα διὰ χρόνου (ε)ἴδεα θνητῶν,

ἀργαλέας βιότ(οιο) (μ)εταλλάσσοντα κελεύθους.

ἀργαλέας κελεύθους φησὶν εἶναι τῶν ψυχῶν τὰς εἰς τὰ σώματα μεταβολὰς καὶ μετακοσμήσεις. (18) τοῦτ᾿ ἔστιν ὃ λέγει

ἀργαλέας βιότοιο μεταλλάσσοντα κελεύθους.

μεταλλάσσουσι γὰρ αἱ ψυχαὶ σῶμα ἐκ σώματος, ὑπὸ τοῦ Νείκους μεταβαλλόμεναι καὶ κολαζόμεναι, καὶ οὐκ ἐώμεναι μένειν εἰς τὸ ἕν. ἀλλὰ κολάζεσθαι ἐν πάσαις κολάσεσιν ὑπὸ τοῦ Νείκους τὰς ψυχὰς μεταβαλλομένας σῶμα ἐκ σώματος· μεταβαλλομένας σῶμα ἐκ σώματος, <φησὶ λέγων ὧδέ πως>·

(19) αἰθέριον <μὲν> γάρ σφε μένος (ψυχὰς) πόντονδε (ἐχθονὸς)
διώκει,
πόντος δ᾿ ἐ(ς) χθονὸς οὖδας ἀπέπτυσε, γαῖα δ᾿ ἐς αὐγὰς
ἠελίου φαέθοντος, ὁ δ᾿ αἰθέρος ἔμβαλε δίναις·

ἄλλος δ᾽ ἐξ ἄλλου δέχεται, στυγέουσι δὲ πάντες.

(20) αὕτη ἐστὶν ἡ κόλασις ἣν κολάζει ὁ δημιουργός, καθάπερ χαλκεύς τις μετακοσμῶν σίδηρον καὶ ἐκ πυρὸς εἰς ὕδωρ μεταβάπτων· πῦρ γάρ ἐστιν ὁ αἰθήρ, ὅθεν εἰς πόντον μεταβάλλει τὰς ψυχὰς ὁ δημιουργός, χθὼν δὲ ἡ γῆ, ὅθεν φησίν „ἐξ ὕδατος εἰς γῆν, ἐκ γῆς δὲ εἰς τὸν ἀέρα". τουτέστιν ὃ λέγει·

(21) γαῖα δ᾽ ἐς αὐγὰς
ἠελίου φαέ(θο)ντος, ὁ δ᾽ αἰθέρος ἔμβαλε δίναις·
ἄλλος <δ᾽> ἐξ ἄλλου δέχεται, στυγέουσι δὲ πάντες.

μισουμένας οὖν τὰς ψυχὰς καὶ βασανιζομένας καὶ κολαζομένας ἐν τῷδε τῷ κόσμῳ κατὰ τὸν Ἐμπεδοκλέα συνάγει ἡ φιλία, ἀγαθή τις οὖσα καὶ κατοικτείρουσα τὸν στεναγμὸν αὐτῶν καὶ τὴν ἄτακτον καὶ πονηρὰν τοῦ Νείκους τοῦ μαινομένου κατασκευήν, καὶ ἐξάγειν <αὐτὰς> κατ᾽ ὀλίγον ἐκ τοῦ κόσμου καὶ προσοικειοῦν τῷ ἑνὶ σπεύδουσα, καὶ κοπιῶσα, ὅπως τὰ πάντα εἰς τὴν ἑνότητα καταντήσῃ ὑπ᾽ αὐτῆς ἀγόμενα. (22) διὰ τὴν τοιαύτην οὖν τοῦ ὀλεθρίου Νείκους διακόσμησιν τοῦδε τοῦ μεμερισμένου κόσμου πάντων ἐμψύχων ὁ Ἐμπεδοκλῆς τοὺς ἑαυτοῦ μαθητὰς ἀπέχεσθαι παρακαλεῖ· εἶναι γάρ φησι τὰ σώματα τῶν ζώιων τὰ ἐσθιόμενα ψυχῶν κεκολασμένων οἰκητήρια. καὶ ἐγκρατεῖς εἶναι τοὺς τῶν τοιούτων λόγων ἀκροωμένους τῆς πρὸς γυναῖκα ὁμιλίας διδάσκει, ἵνα μὴ συνεργάζωνται καὶ συνεπιλαμβάνωνται τῶν ἔργων, ὧν δημιουργεῖ τὸ Νεῖκος, τὸ τῆς Φιλίας ἔργον λῦον ἀεὶ καὶ διασπῶν· (23) τοῦτον εἶναί φησιν ὁ Ἐμπεδοκλῆς νόμον μέγιστον τῆς τοῦ παντὸς διοικήσεως λέγων ὧδέ πως·

ἔστιν Ἀνάγκη<ς> χρῆμα, θεῶν ψήφισμα παλαιόν,
αἰδιον, πλατέεσ<σ>ι κατεσφρηγισμένον ὅρκοις·

ἀνάγκην καλῶν τὴν ἐξ ἑνὸς εἰς πολλὰ κατὰ τὸ Νεῖκος καὶ ἐκ πολλῶν εἰς ἓν κατὰ τὴν Φιλίαν μεταβολήν. θεοὺς δέ, ὡς ἔφην, τέσσαρας μὲν θνητούς, πῦρ ὕδωρ γῆν ἀέρα, δύο δὲ ἀθανάτους, ἀγεννήτους, πολεμίους ἑαυτοῖς διὰ παντός, τὸ Νεῖκος καὶ τὴν Φιλίαν.

**B 115** /2 = Plútarchos, De exil. 17; 607c

ὁ δ᾽ Ἐμπεδοκλῆς ἐν ἀρχῆι τῆς φιλοσοφίας προαναφωνήσας „ἔστιν ... ἀλήτης“ οὐχ <ὅπως> ἑαυτόν, ἀλλ᾽ ἀφ᾽ ἑαυτοῦ πάντας ἀποδείκνυσι μετανάστας ἐνταῦθα καὶ ξένους καὶ φυγάδας ἡμᾶς ὄντας (...) φεύγει (sc. ἡ ψυχή) καὶ πλανᾶται θείοις ἐλαυνομένη δόγμασι καὶ νόμοις.

**B 115** /3 = Plútarchos, De Isid. 361c

Ἐμπεδοκλῆς δὲ καὶ δίκας φησὶ διδόναι τοὺς δαίμονας ὧν ἂν ἐξαμάρτωσι καὶ πλημμελήσωσιν „αἰθέριον ... πάντες“, ἄχρι οὗ κολασθέντες οὕτω καὶ καθαρθέντες αὖθις τὴν κατὰ φύσιν χώραν καὶ τάξιν ἀπολάβωσι.

**B 115** /4 = Plótinos, Enneades IV, 8. 1

Ἐμπεδοκλῆς τε εἰπὼν ἁμαρτανούσαις νόμον εἶναι ταῖς ψυχαῖς πεσεῖν ἐνταῦθα καὶ αὐτὸς „φυγὰς θεόθεν“ γενόμενος ἥκειν πίσυνος μαινομένωι Νείκει τοσοῦτον παρεγύμνου ὅσον καὶ Πυθαγόρας οἶμαι καὶ οἱ ἀπ᾽ ἐκείνου ἠινίττοντο περί τε τούτου περί τε πολλῶν ἄλλων.

**B 116** = Plútarchos, Quaestiones conviv. IX, 5; 745c

ὁ δὲ Πλάτων (Rep. X, 617b) ἄτοπος, ταῖς μὲν ἀιδίοις καὶ θείοις περιφοραῖς ἀντὶ τῶν Μουσῶν τὰς Σειρῆνας ἐνιδρύων οὐ πάνυ φιλανθρώπους οὐδὲ χρηστοὺς δαίμονας, τὰς δὲ Μούσας ἢ παραλείπων παντάπασιν ἢ τοῖς τῶν Μοιρῶν ὀνόμασι προσαγορεύων καὶ καλῶν θυγατέρας Ἀνάγκης. ἄμουσον γὰρ Ἀνάγκη, μουσικὸν δὲ ἡ Πειθώ, καὶ Μούσαις φιλοδαμοῦσα πολὺ μᾶλλον οἶμαι τῆς Ἐμπεδοκλέους Χάριτος

στυγέει δύστλητον Ἀνάγκην.

**B 117** = Diogenés Laertios, Vitae philosophorum VIII, 77; Hippolytos Rom., Refutatio I, 3 (A 31)

ἤδη γάρ ποτ᾽ ἐγὼ γενόμην κοῦρός τε κόρη τε
θάμνος τ᾽ οἰωνός τε καὶ ἔξαλος ἔλλοπος ἰχθύς.

**B 118**

κλαῦσά τε καὶ κώκυσα ἰδὼν ἀσυνήθεα χῶρον.

**B 118** /1 = Kléméns Alex., Stromata III, 14,2

δῆλος δὲ αὐτῶι (22 B 20) συμφερόμενος καὶ Ἐμπεδοκλῆς λέγων·

κλαῦσά τε καὶ κώκυσα ἰδὼν ἀσυνήθεα χῶρον.

**B 118** cfr = Sextos Empeirikos, Adversus mathematicos XI, 96:

ἀλλ᾽ εἰώθασί τινες τῶν ἀπὸ τῆς Ἐπικούρου αἱρέσεως (...) λέγειν ὅτι φυσικῶς καὶ ἀδιδάκτως τὸ ζῶιον φεύγει μὲν τὴν ἀλγηδόνα, διώκει δὲ τὴν ἡδονήν· γεννηθὲν γοῦν καὶ μηδέπω τοῖς κατὰ δόξαν δουλεῦον ἅμα τῶι ῥαπισθῆναι ἀσυνήθει ἀέρος ψύξει ἔκλαυσέ τε καὶ ἐκώκυσεν...

**B 119**

ἐξ οἵης τιμῆς τε καὶ ὅσσου μήκεος ὄλβου...

**B 119** /1 = Kléméns Alex., Stromata IV, 13,1

οὐχ ὑβρίζων τὸν πειράζοντα, παιδεύων δέ, οἶμαι, καὶ ἐλέγχων,

ἐξ οἵης τιμῆς καὶ οἵου μήκεος ὄλβου,

ὥς φησιν Ἐμπεδοκλῆς, ὧδε ἐλθὼν μετὰ θνητῶν ἀναστρέφεται.

**B 119** /2 = Plútarchos, De exil. 17; 607d

εἶθ᾽ ὥσπερ ἐν νήσωι σάλον ἐχούσηι πολύν, καθάπερ φησὶν ὁ Πλάτων (Phaedr. 250c), ᾽ὀστρέου τρόπον᾽ ἐνδεδεμένη τῶι σώματι διὰ τὸ μὴ ἀναφέρειν μηδὲ μνημονεύειν ᾽ἐξ οἵης ... ὄλβου᾽ μεθέστηκεν ... οὐρανοῦ καὶ σελήνης γῆν ἀμειψαμένη (sc. ἡ ψυχή) καὶ τὸν ἐπὶ γῆς βίον, ἂν μικρὸν ἐνταῦθα τόπον ἐκ τόπου παραλλάξηι, δυσανασχετεῖ καὶ ξενοπαθεῖ.

**B 120** = Porfyrios, De antro nymph. 8; 61, 19 Nauck
παρά τε γὰρ ᾽Εμπεδοκλεῖ αἱ ψυχοπομποὶ δυνάμεις λέγουσιν

ἠλύθομεν τόδ᾽ ὑπ᾽ ἄντρον ὑπόστεγον ...

**B 121**

... ἀτερπέα χῶρον,
ἔνθα Φόνος τε Κότος τε καὶ ἄλλων ἔθνεα Κηρῶν
αὐχμηραί τε Νόσοι καὶ Σήψιες ἔργα τε ῥευστά
῎Ατης ἀν λειμῶνα κατὰ σκότος ἠλάσκουσιν.

**B 121** /1 = Hieroklés, In aureum carmen 24 Köhler
ἄνεισι δὲ καὶ τὴν ἀρχαίαν ἕξιν ἀπολαμβάνει, εἰ φύγοι τὰ περὶ γῆν καὶ τὸν ᾽ἀτερπέα χῶρον᾽ ὡς ὁ αὐτὸς λέγει, „ἔνθα ... Κηρῶν“, εἰς ὃν οἱ ἐμπεσόντες „῎Ατης ... ἠλάσκουσι“· ἡ δὲ ἔφεσις τοῦ φεύγοντος τὸν τῆς ῎Ατης λειμῶνα πρὸς τὸν τῆς ᾽Αληθείας ἐπείγεται λειμῶνα (C 1), ὃν ἀπολιπὼν τῆι ὁρμῆι τῆς πτερορρυήσεως εἰς γήινον ἔρχεται σῶμα ὀλβίου αἰῶνος ἀμερθείς (B 158).

**B 121** /2 = Synésios, De provid. 1 (66, 1213a Migne)
κεῖται δὲ Θέμιδι νόμος ἀγορεύων ψυχαῖς, ἥτις ἂν ὁμιλήσασα τῆι τῶν ὄντων ἐσχατιᾶι τηρήσηι τὴν φύσιν καὶ ἀμόλυντος διαγένηται, ταύτην δὴ τὴν αὐτὴν ὁδὸν αὖθις ἀναρρυῆναι καὶ εἰς τὴν οἰκείαν ἀναχυθῆναι πηγήν, ὥσπερ γε καὶ τὰς ἐκ τῆς ἑτέρας

μερίδος τρόπον τινὰ ἐξορμησαμένας φύσεως ἀνάγκη ἐς τοὺς συγγενεῖς αὐλισθῆναι κευθμῶνας „ἔνθα ... ἠλάσκουσιν“.

**B 122**

ἔνθ᾽ ἦσαν Χθονίη τε καὶ Ἡλιόπη ταναῶπις,
Δῆρίς θ᾽ αἱματόεσσα καὶ Ἁρμονίη θεμερῶπις,
Καλλιστώ τ᾽ Αἰσχρή τε, Θόωσά τε Δηναίη τε,
Νημερτής τ᾽ ἐρόεσσα μελάγκουρός τ᾽ Ἀσάφεια.

**B 122** /1 = Plútarchos, De tranq. an. 15; 474b
ἀλλὰ μᾶλλον, ὡς Ἐμπεδοκλῆς, διτταί τινες ἕκαστον ἡμῶν γινόμενον παραλαμβάνουσι καὶ κατάρχονται μοῖραι καὶ δαίμονες „ἔνθ᾽ ... Ἀσάφεια“, ὥστε τούτων ἑκάστου σπέρματα τῶν παθῶν ἀνακεκραμένα δεδεγμένης ἡμῶν τῆς γενέσεως καὶ διὰ τοῦτο πολλὴν ἀνωμαλίαν ἐχούσης εὔχεται μὲν ὁ νοῦν ἔχων τὰ βελτίονα, προσδοκᾶι δὲ καὶ θάτερα, χρῆται δ᾽ ἀμφοτέροις τὸ ἄγαν ἀφαιρῶν.

**B 123**

Φυσώ τε Φθιμένη τε, καὶ Εὐναίη καὶ Ἔγερσις,
Κινώ τ᾽ Ἀστεμφής τε, πολυστέφανός τε Μεγιστώ
καὶ Φορύη, Σωπή τε καὶ Ὀμφαίη ...

**B 123** /1 = Cornutus Lucius Aeneus, De natura deorum, p. 30 Lang (Epidrom. 17)
οὗτοι δ᾽ ἂν εἶεν διαφοραὶ τῶν ὄντων· ὡς γὰρ Ἐμπεδοκλῆς φυσικῶς ἐξαριθμεῖται „Φυσώ ... Μεγιστώ“ καὶ Φορύην καὶ Σοφήν τε καὶ Ὀμφαίην καὶ πολλὰς ἄλλας, τὴν εἰρημένην ποικιλίαν τῶν ὄντων αἰνιττόμενος, οὕτως ὑπὸ τῶν παλαιῶν Ἰαπετὸς μὲν ὠνομάσθη ὁ λόγος καθ᾽ ὃν φωνητικὰ <τὰ> ζῷα ἐγένετο καὶ τὸ ὅλον ψόφος ἀπετελέσθη, ἰαφετός τις ὢν (ἰὰ γάρ ἐστιν ἡ φωνή), Κοῖος ...

**B 124** /1 = Kléméns Alex., Stromata III, 14,2 (sec. B 125)

καὶ πάλιν·

ὢ πόποι, ὢ δειλὸν θνητῶν γένος, ὢ δυσάνολβον,
τοίων ἔκ τ᾿ ἐρίδων ἔκ τε στοναχῶν ἐγένεσθε.

**B 124** /2 = Tímón fr. 10 Diels = fr. 787 H. Lloyd-Jones and P. Parsons

σχέτλιοι ἄνθρωποι, κάκ᾿ ἐλέγχεα, γαστέρες οἶον „τοίων ... πέπλασθε“.

**B 125** = Kléméns Alex., Stromata III, 14,2 (po B 118)

καὶ ἔτι·

ἐκ μὲν γὰρ ζωῶν ἐτίθει νεκρὰ εἴδε' ἀμείβων.

**B 126**

ἐν θήρεσσι λέοντες ὀρειλεχέες χαμαιεῦναι
γίγνονται, δάφναι δ᾿ ἐνὶ δένδρεσιν ἠυκόμοισιν.

**B 126** /1 = Plútarchos, De esu carn. 2. 3; 998c

ἀλλάσσει δὲ ἡ φύσις ἅπαντα καὶ μετοικίζει „σαρκῶν ... χιτῶνι“...

**B 126** /2 = Porfyrios in: Stobaios, Anthologium I 49, 60 (I 446, 7 W.)

αὐτῆς γὰρ τῆς μετακοσμήσεως εἱμαρμένη καὶ φύσις ὑπὸ ᾿Εμπεδοκλέους δαίμων ἀνηγόρευται „σαρκῶν ... χιτῶνι“ καὶ μεταμπίσχουσα τὰς ψυχάς.

σαρκῶν ἀλλογνῶτι περιστέλλουσα χιτῶνι.

**B 127** = Ailianos Klaudios, De natura animalium XII, 7

λέγει δὲ καὶ ᾿Εμπεδοκλῆς τὴν ἀρίστην εἶναι μετοίκησιν τὴν τοῦ ἀνθρώπου, εἰ μὲν ἐς ζῷιον ἡ λῆξις αὐτὸν μεταγάγοι, λέοντα γίνεσθαι· εἰ δὲ ἐς φυτόν, δάφνην. ἃ δὲ ᾿Εμπεδοκλῆς λέγει ταῦτά ἐστιν „ἐν ... ἠυκόμοισιν“.

**B 128**

οὐδέ τις ἦν κείνοισιν Ἄρης θεὸς οὐδὲ Κυδοιμός
οὐδὲ Ζεὺς βασιλεὺς οὐδὲ Κρόνος οὐδὲ Ποσειδῶν,
ἀλλὰ Κύπρις βασίλεια.
τὴν οἵ γ᾿ εὐσεβέεσσιν ἀγάλμασιν ἱλάσκοντο
γραπτοῖς τε ζώιοισι μύροισί τε δαιδαλεόδμοις
σμύρνης τ᾿ ἀκρήτου θυσίαις λιβάνου τε θυώδους,
ξανθῶν τε σπονδὰς μελίτων ῥίπτοντες ἐς οὖδας·
ταύρων δ᾿ ἀκρήτοισι φόνοις οὐ δεύετο βωμός,
ἀλλὰ μύσος τοῦτ᾿ ἔσκεν ἐν ἀνθρώποισι μέγιστον,
θυμὸν ἀπορραίσαντας ἐ<ν>έδμεναι ἠέα γυῖα.

**B 128** /1 = Porfyrios, De abstinentia II, 20

τὰ μὲν ἀρχαῖα τῶν ἱερῶν νηφάλια παρὰ πολλοῖς ἦν· νηφάλια δ᾿ ἐστὶν τὰ ὑδρόσπονδα, τὰ δὲ μετὰ ταῦτα μελίσπονδα· τοῦτον γὰρ ἕτοιμον παρὰ μελιττῶν πρῶτον ἐλάβομεν τὸν ὑγρὸν καρπόν· εἶτ᾿ ἐλαιόσπονδα. τέλος δ᾿ ἐπὶ πᾶσιν τὰ ὕστερον γεγονότα οἰνόσπονδα ...

(21) μαρτυρεῖται δὲ ταῦτα οὐ μόνον ὑπὸ τῶν (ἐν) κύρβεων (στηλῶν), αἳ τῶν Κρήτηθέν εἰσι Κορυβαντικῶν ἱερῶν οἷον ἀντίγραφ᾿ ἄττα πρὸς ἀλήθειαν, ἀλλὰ καὶ παρ᾿ ᾿Εμπεδοκλέους, ὃς περὶ τῆς θεογονίας διεξιὼν καὶ περὶ τῶν θυμάτων παρεμφαίνει λέγων (᾿Εμπεδοκλῆς) „οὐδέ ... βασίλεια“, ἣ ἔστιν ἡ Φιλία „τὴν οἵ γ᾿ ... οὖδας“, ἅπερ καὶ νῦν ἔτι σώιζεται παρ᾿ ἐνίοις οἷον ἴχνη τινὰ τῆς ἀληθείας ὄντα, „ταύρων δ᾿ ... βωμός“. τῆς γὰρ οἶμαι φιλίας καὶ τῆς περὶ τὸ συγγενὲς αἰσθήσεως

πάντα κατεχούσης, οὐθεὶς οὐθὲν ἐφόνευεν οἰκεῖα εἶναι νομίζων τὰ λοιπὰ τῶν ζώιων. ἐπεὶ δὲ Ἄρης καὶ Κυδοιμὸς καὶ πᾶσα μάχη καὶ πολέμων ἀρχὴ κατέσχεν, τότε πρῶτον οὐθεὶς οὐθενὸς ὅλως ἐφείδετο τῶν οἰκείων.

(27) „ταύρων ... γυῖα“.

**B 129** = Porfyrios, Vita Pyth. 30

αὐτὸς δὲ τῆς τοῦ παντὸς ἁρμονίας ἠκροᾶτο συνιεὶς τῆς καθολικῆς τῶν σφαιρῶν καὶ τῶν κατ᾽ αὐτὰς κινουμένων ἀστέρων ἁρμονίας, ἧς ἡμᾶς μὴ ἀκούειν διὰ σμικρότητα τῆς φύσεως. τούτοις καὶ Ἐμπεδοκλῆς μαρτυρεῖ λέγων περὶ αὐτοῦ· „ἦν ... αἰώνεσσιν“. τὸ γὰρ περιώσια καὶ τῶν ὄντων λεύσσεσκεν ἕκαστα καὶ πραπίδων πλοῦτον καὶ τὰ ἐοικότα ἐμφαντικὰ μάλιστα τῆς ἐξαιρέτου καὶ ἀκριβεστέρας παρὰ τοὺς ἄλλους διοργανώσεως ἔν τε τῶι ὁρᾶν καὶ τῶι ἀκούειν καὶ τῶι νοεῖν τοῦ Πυθαγόρου

ἦν δέ τις ἐν κείνοισιν ἀνὴρ περιώσια εἰδώς,
ὃς δὴ μήκιστον πραπίδων ἐκτήσατο πλοῦτον,
παντοίων τε μάλιστα σοφῶν <τ᾽> ἐπιήρανος ἔργων·
ὁππότε γὰρ πάσῃσιν ὀρέξαιτο πραπίδεσσιν,
ῥεῖ᾽ ὅ γε τῶν ὄντων πάντων λεύσσεσκεν ἕκαστον
καί τε δέκ᾽ ἀνθρώπων καί τ᾽ εἴκοσιν αἰώνεσσιν.

**B 130** = Schol. Nic. Ther. 452; p. 36, 22

ἦσαν δὲ κτίλα πάντα καὶ ἀνθρώποισι προσηνῆ,
θῆρές τ᾽ οἰωνοί τε, φιλοφροσύνη τε δεδήει.

**B 131** = Hippolytos Rom., Refutati VII, 31; p. 216 W.

κόσμον γάρ φησιν εἶναι ὁ Ἐμπεδοκλῆς τὸν ὑπὸ τοῦ Νείκους διοικούμενον τοῦ πονηροῦ καὶ ἕτερον νοητὸν τὸν ὑπὸ τῆς Φιλίας ... μέσον δὲ εἶναι τῶν διαφόρων

ἀρχῶν δίκαιον λόγον, καθ᾽ ὃν συγκρίνεται τὰ διῃρημένα ὑπὸ τοῦ Νείκους καὶ προσαρμόζεται κατὰ τὴν Φιλίαν τῶι ἑνί. τοῦτον δὲ αὐτὸν τὸν δίκαιον λόγον τὸν τῆι Φιλίαι συναγωνιζόμενον Μοῦσαν ὁ Ἐμπεδοκλῆς προσαγορεύων καὶ αὐτὸς αὑτῶι συναγωνίζεσθαι παρακαλεῖ λέγων ὧδέ πως·

εἰ γὰρ ἐφημερίων ἕνεκέν τινος, ἄμβροτε Μοῦσα,
ἡμετέρας μελέτας <ἅδε τοι> διὰ φροντίδος ἐλθεῖν,
εὐχομένωι νῦν αὖτε παρίστασο, Καλλιόπεια,
ἀμφὶ θεῶν μακάρων ἀγαθὸν λόγον ἐμφαίνοντι.

**B 132** = Kléméns Alex., Stromata V, 140,5

Šťastný je ten, kdo poklad božského myšlení získal,
ubožák ten, kdo o bozích zastává domněnky temné.
ὄλβιος, ὃς θείων πραπίδων ἐκτήσατο πλοῦτον,
δειλὸς δ᾽, ὧι σκοτόεσσα θεῶν πέρι δόξα μέμηλεν.

**B 133** = Kléméns Alex., Stromata V, 81,2

τὸ γάρ τοι θεῖον, ὁ Ἀκραγαντῖνός φησι ποιητής,

οὐκ ἔστιν πελάσασθαι ἐν ὀφθαλμοῖσιν ἐφικτόν
ἡμετέροις ἢ χερσὶ λαβεῖν, ἧιπέρ τε μεγίστη
πειθοῦς ἀνθρώποισιν ἁμαξιτὸς εἰς φρένα πίπτει.

**B 134**

οὐδὲ γὰρ ἀνδρομέηι κεφαλῆι κατὰ γυῖα κέκασται,
οὐ μὲν ἀπαὶ νώτοιο δύο κλάδοι ἀίσσονται,
οὐ πόδες, οὐ θοὰ γοῦν(α), οὐ μήδεα λαχνήεντα,
ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μοῦνον,
φροντίσι κόσμον ἅπαντα καταΐσσουσα θοῇισιν.

**B 134** /1 = Ammónios, In De interpretatione 249, 1 Busse

διὰ ταῦτα δὲ καὶ ὁ ᾽Ακραγαντῖνος σοφὸς ἐπιρραπίσας τοὺς περὶ θεῶν ὡς ἀνθρωποειδῶν ὄντων παρὰ τοῖς ποιηταῖς λεγομένους μύθους, ἐπήγαγε προηγουμένως μὲν περὶ ᾽Απόλλωνος, περὶ οὗ ἦν αὐτῶι προσεχῶς ὁ λόγος, κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ περὶ τοῦ θείου παντὸς ἁπλῶς ἀποφαινόμενος ᾽οὔτε ... θοῆισι᾽ διὰ τοῦ ᾽ἱερή᾽ καὶ τὴν ὑπὲρ νοῦν αἰνιττόμενος αἰτίαν.

**B 135**

ἀλλὰ τὸ μὲν πάντων νόμιμον διά τ᾽ εὐρυμέδοντος
αἰθέρος ἠνεκέως τέταται διά τ᾽ ἀπλέτου αὐγῆς ...

**B 135** /1 = Aristotelés, Rhetorica I, 13; 1373b 6

ἔστι γάρ τι ὃ μαντεύονται πάντες, φύσει κοινὸν δίκαιον καὶ ἄδικον, κἂν μηδεμία κοινωνία πρὸς ἀλλήλους ᾖ μηδὲ συνθήκη, οἷον καὶ ἡ Σοφοκλέους Ἀντιγόνη φαίνεται λέγουσα, ὅτι δίκαιον ἀπειρημένου θάψαι τὸν Πολυνείκη, ὡς φύσει ὂν τοῦτο δίκαιον·

οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ' ἀεί ποτε
ζῇ τοῦτο, κοὐδεὶς οἶδεν ἐξ ὅτου φάνη·

καὶ ὡς Ἐμπεδοκλῆς λέγει περὶ τοῦ μὴ κτείνειν τὸ ἔμψυχον· τοῦτο γὰρ οὐ τισὶ μὲν δίκαιον τισὶ δ' οὐ δίκαιον, ἀλλὰ τὸ μὲν πάντων νόμιμον διά τ' εὐρυμέδοντος αἰθέρος ἠνεκέως τέταται διά τ' ἀπλέτου αὐγῆς·

**B 135** /2 = Cicero, De rp. 11, 19

Pythagoras et Empedocles unam omnium animantium condicionem iuris esse denuntiant clamantque inexpiabilis poenas impendere iis a quibus violatum sit animal.

**B 135** /3 = Sextos Empeirikos, Adversus mathematicos IX, 126

εἴπερ καὶ ἡ δικαιοσύνη κατὰ τὴν ἐπιπλοκὴν τῶν ἀνθρώπων πρός τε ἀλλήλους καὶ πρὸς θεοὺς εἰσῆκται, εἰ μὴ εἰσὶ θεοί, οὐδὲ δικαιοσύνη συστήσεται.

**B 135** /4 = Iamblichos, Vita Pyth. 108

προσέταξεν ἀπέχεσθαι τῶν ἐμψύχων· ἅτε γὰρ βουλομένους ἄκρως δικαιοπραγεῖν ἔδει δήπου μηδὲν ἀδικεῖν τῶν συγγενῶν ζώιων. ἐπεὶ πῶς ἂν ἔπεισαν δίκαια πράττειν τοὺς ἄλλους αὐτοὶ ἁλισκόμενοι ἐν πλεονεξίαι <καίπερ ἐχόμενοι> συγγενικῆι τῆι τῶν ζώιων μετοχῆι, ἅπερ διὰ τὴν τῆς ζωῆς καὶ τῶν στοιχείων τῶν αὐτῶν κοινωνίαν καὶ τῆς ἀπὸ τούτων συνισταμένης συγκράσεως ὡσανεὶ ἀδελφότητι πρὸς ἡμᾶς συνέζευκται;

**B 136** = Sextos Empeirikos, Adversus mathematicos IX, 127

οἱ μὲν οὖν περὶ τὸν Πυθαγόραν καὶ τὸν Ἐμπεδοκλέα καὶ τὸ λοιπὸν τῶν Ἰταλῶν πλῆθός φασι μὴ μόνον ἡμῖν πρὸς ἀλλήλους καὶ πρὸς τοὺς θεοὺς εἶναί τινα κοινωνίαν, ἀλλὰ καὶ πρὸς τὰ ἄλογα τῶν ζώιων. ἓν γὰρ ὑπάρχειν πνεῦμα τὸ διὰ παντὸς τοῦ κόσμου διῆκον ψυχῆς τρόπον τὸ καὶ ἑνοῦν ἡμᾶς πρὸς ἐκεῖνα. διόπερ καὶ κτείνοντες αὐτὰ καὶ ταῖς σαρξὶν αὐτῶν τρεφόμενοι ἀδικήσομέν τε καὶ ἀσεβήσομεν ὡς συγγενεῖς ἀναιροῦντες. ἔνθεν καὶ παρῄνουν οὗτοι οἱ φιλόσοφοι ἀπέχεσθαι τῶν ἐμψύχων καὶ ἀσεβεῖν ἔφασκον τοὺς ἀνθρώπους „βωμὸν ἐρεύθοντας μακάρων θερμοῖσι φόνοισιν“, καὶ Ἐμπεδοκλῆς πού φησιν·

> οὐ παύσεσθε φόνοιο δυσηχέος; οὐκ ἐσορᾶτε
> ἀλλήλους δάπτοντες ἀκηδείῃσι νόοιο;

**B 137**

> μορφὴν δ᾽ ἀλλάξαντα πατὴρ φίλον υἱὸν ἀείρας
> σφάζει ἐπευχόμενος μέγα νήπιος· οἱ δ᾽ ἀπορεῦνται
> λισσόμενον θύοντες· ὁ δ᾽ αὖ νήκουστος ὁμοκλέων

σφάξας ἐν μεγάροισι κακὴν ἀλεγύνατο δαῖτα.
ὡς δ᾽ αὔτως πατέρ᾽ υἱὸς ἑλὼν καὶ μητέρα παῖδες
θυμὸν ἀπορραίσαντε φίλας κατὰ σάρκας ἔδουσιν.

**B 137** /1 = Sextos Empeirikos, Adversus mathematicos IX, 129

καὶ „μορφὴν ... ἔδουσιν".

**B 137** /2 = Órigenés, Contra Celsum V, 49

ἐκεῖνοι μὲν γὰρ διὰ τὸν περὶ ψυχῆς μετενσωματουμένης μῦθον ἐμψύχων ἀπέχονται καί τις „φίλον ... νήπιος".

**B 138** = Aristotelés, Poetica 21; 1457b 13

ἀπ᾽ εἴδους δὲ ἐπὶ εἶδος οἷον

χαλκῶι ἀπὸ ψυχὴν ἀρύσας

καὶ „ταμὼν ἀτειρέι χαλκῶι" (B 143)· ἐνταῦθα γὰρ τὸ μὲν ἀρύσαι ταμεῖν, τὸ δὲ ταμεῖν ἀρύσαι εἴρηκεν.

**B 139** = Porfyrios, De abstinentia II, 31

ἐπεὶ δ᾽ ἀναμάρτητος οὐδείς, λοιπὸν δὴ ἀκεῖσθαι αὐτοῖς ὕστερον διὰ τῶν καθαρμῶν τὰς πρόσθε περὶ τὴν τροφὴν ἁμαρτίας. τοῦτο δὲ ὁμοίως γένοιτ᾽ ἄν, εἰ πρὸ ὀμμάτων ποιησάμενοι τὸ δεινὸν ἀνευφημίσαιμεν κατὰ τὸν Ἐμπεδοκλέα λέγοντες·

οἴμοι ὅτι οὐ πρόσθεν με διώλεσε νηλεὲς ἦμαρ,
πρὶν σχέτλι᾽ ἔργα βορᾶς περὶ χείλεσι μητίσασθαι.

**B 140** = Plútarchos, Quaestiones conviv. III 1, 2; 646d

καὶ οὐ μόνης ὡς ἔοικε κατ᾽ Ἐμπεδοκλέα τῆς δάφνης τῶν φύλλων ἀπὸ πάμπαν ἔχεσθαι χρή, ἀλλὰ καὶ τῶν ἄλλων φείδεσθαι δένδρων ἁπάντων.

δάφνης φύλλων ἄπο πάμπαν ἔχεσθαι.

**B 141**

δειλοί, πάνδειλοι, κυάμων ἄπο χεῖρας ἔχεσθαι.

**B 141** /1 = Gellius IV, 11, 9-10

videtur autem de κυάμωι non esitato causam erroris fuisse, quia in Empedocli carmine qui disciplinas Pythagorae secutus est, versus hic invenitur δειλοί, πάνδειλοι, κυάμων ἄπο χεῖρας ἔχεσθαι. (10) opinati enim sunt plerique κυάμους legumentum dici ut a vulgo dicitur. sed qui diligentius scitiusque carmina Empedocli arbitrati sunt, kuŁmouj hoc in loco testiculos significare dicunt eosque more Pythagorae operte atque symbolice κυάμους appellatos, quod sint αἴτιοι τοῦ κυεῖν et geniturae humanae vim praebeant idcircoque Empedoclen versu isto non a fabulo edendo, sed a rei veneriae proluvio voluisse homines deducere.

**B 141** /2 = Didymus in Geopon. II, 35, 8

πρῶτος δὲ ἀπέσχετο κυάμων ᾽Αμφιάραος διὰ τὴν δι᾽ ὀνείρων μαντείαν· φέρεται δὲ καὶ ᾽Ορφέως τοιάδε ἔπη „δειλοὶ ... ἔχεσθαι“.

**B 141** /3 = Kallimachos fr. 128. Kratés, Θῆρες fr. 17 (I, 135 K.)

ἡμῶν δ᾽ ἄπο χεῖρας ἔχεσθαι.

**B 142**

τὸν δ᾽ οὔτ᾽ ἄρ τε Διὸς τέγεοι δόμοι αἰγ<ιόχοιο>
οὔ>τε ποτ᾽ ᾽Αΐδεω δέ<χετ᾽ ἠδ᾽ οἰ->κτ<ρ>ῆς τέγος <αὐ>δ<ῆς.

**B 142** /1 = Voll. Herc. N. 1012 col. 18 (coll. alt. VII, fol. 15)

σοφίην (Callim. Epigr. 7, 3. 4: σχῆμα ἀπὸ κοινοῦ) δῆλον γὰρ ὡς οἱ | μὲν κήρυκες φθένξονται, | ἡ δ᾽ ῾Ελλὰς φθένξεται. μία | δὴ δύναμις τοῦ σημαινομέ-|(5)νου. τὰτὸ

δὲ κα(ὶ) παρ᾽ ᾽Εμ-|πεδ(οκ)λεῖ γέγονεν ὅτε λέ-|(γ)ε(ται) ᾽τὸν δ᾽ οὔτ᾽ ἄρ τε Διὸς |
ΤΕΓΕΟΙΔΟΜΟΙΑΙΓ.......| ΤΕΠ.ΟΑΙΔΟΥΔΕ.......
ΚΤ.ΗΣΤΕΓΟΣ..Δ....... | ...ΛΟΥ...Ε

**B 143** /1 = Theón Smyrn., De utilitate mathematicae 15, 7 Hiller

κατὰ ταὐτὰ δὴ καὶ ἡ τῶν πολιτικῶν (πλατονικῶν?) λόγων παράδοσις τὸ μὲν πρῶτον ἔχει καθαρμόν τινα οἷον ἡ ἐν τοῖς προσήκουσι μαθήμασιν ἐκ παίδων συγγυμνασία. ὁ μὲν γὰρ ᾽Εμπεδοκλῆς „κρηνάων ἀπὸ πέντε ταμόντα, φησίν, ἀτειρέι χαλκῶι“ δεῖν ἀπορρύπτεσθαι.

**B 143** /2 = Aristotelés, Poetica 21; 1457b 13 (B 138)

κρηνάων ἄπο πέντε ταμόντ᾽ <ἐν> ἀτειρέι χαλκῶι ...

**B 144** = Plútarchos, De coh. ira 16; 464b

τὸ μὲν τοῦ ᾽Εμπεδοκλέους μέγα καὶ θεῖον ἡγούμην τὸ
νηστεῦσαι κακότητος.

**B 145** = Kléméns Alex., Protrepticus 27,3

τοιγάρτοι χαλεπῇισιν ἀλύοντες κακότησιν
οὔ ποτε δειλαίων ἀχέων λωφήσετε θυμόν.

**B 146** = Kléméns Alex., Stromata IV, 150,1

φησὶ δὲ καὶ ὁ ᾽Εμπεδοκλῆς τῶν σοφῶν τὰς ψυχὰς θεοὺς γίνεσθαι ὧδέ πως γράφων·

εἰς δὲ τέλος μάντεις τε καὶ ὑμνοπόλοι καὶ ἰητροί
καὶ πρόμοι ἀνθρώποισιν ἐπιχθονίοισι πέλονται,
ἔνθεν ἀναβλαστοῦσι θεοὶ τιμῇισι φέριστοι.

**B 147** = Kléméns Alex., Stromata V, 122,3

ἢν δὲ ὁσίως καὶ δικαίως διαβιώσωμεν, μακάριοι μὲν ἐνταῦθα, μακαριώτεροι δὲ μετὰ τὴν ἐνθένδε ἀπαλλαγήν, οὐ χρόνῳ τινὶ τὴν εὐδαιμονίαν ἔχοντες, ἀλλὰ ἐν αἰῶνι ἀναπαύεσθαι δυνάμενοι,

ἀθανάτοις ἄλλοισιν ὁμέστιοι, ἔν τε τραπέζαις
ἐόντες ἀνδρείων ἀχέων ἀπόκληροι, ἀτειρεῖς,

ἡ φιλόσοφος Ἐμπεδοκλέους λέγει ποιητική.

**B 148, 149, 150**

ἀμφιβρότην χθόνα. ἀέρα ... νεφεληγερέτην. πολυαίματον ἧπαρ.

**B 148, 149, 150** /1 = Plútarchos, Quaestiones conviv. V, 8, 2; 683e

καὶ μάλιστα τοῦ ἀνδρὸς οὐ καλλιγραφίας ἕνεκα τοῖς εὐπροσωποτάτοις τῶν ἐπιθέτων ὥσπερ ἀνθηροῖς χρώμασι τὰ πράγματα γανοῦν εἰωθότος, ἀλλ᾽ ἕκαστον οὐσίας τινὸς ἢ δυνάμεως δήλωμα ποιοῦντος οἷον ᾽ἀμφιβρότην χθόνα᾽ τὸ τῆι ψυχῆι περικείμενον σῶμα καὶ ᾽νεφεληγερέτην᾽ τὸν ἀέρα καὶ ᾽πολυαίματον᾽ τὸ ἧπαρ.

**B 151** = Plútarchos, Amat. 13; 756e

ζείδωρον γὰρ αὐτὴν [᾽Αφροδίτην] ᾽Εμπεδοκλῆς, εὔκαρπον δὲ Σοφοκλῆς ἐμμελῶς πάνυ καὶ πρεπόντως ὠνόμασαν.

ζείδωρος ... ᾽Αφροδίτη.

**B 152** = Aristotelés, Poetica 21; 1457b 22

ἢ ὃ γῆρας πρὸς βίον καὶ ἑσπέρα πρὸς ἡμέραν. ἐρεῖ τοίνυν τὴν ἑσπέραν γῆρας ἡμέρας, ἢ ὥσπερ ᾽Εμπεδοκλῆς, καὶ τὸ γῆρας ἑσπέραν βίου ἢ δυσμὰς βίου.

**B 153** = Hésychios, Lexicon, c.v. βαυβώ

βαυβώ: τιθήνη Δήμητρος. σημαίνει δὲ καὶ κοιλίαν ὡς παρ' ᾽Εμπεδοκλεῖ·

βαυβώ.

**B 153a** = Theón Smyrn., De utilitate mathematicae 104, 1 Hiller

τὸ γοῦν βρέφος δοκεῖ τελειοῦσθαι ἐν ἑπτὰ ἑβδομάσιν, ὡς Ἐμπεδοκλῆς αἰνίττεται ἐν τοῖς Καθαρμοῖς.

**B 154** = Plútarchos, De esu carn. I, 2; 993c

ἢ τοῖς μὲν πρώτοις ἐκείνοις ἐπιχειρήσασι σαρκοφαγεῖν τὴν αἰτίαν ἂν εἴποι πᾶς εἶναι τὴν ἀπορίαν· οὐ γὰρ ἐπιθυμίαις ἀνόμοις συνδιάγοντες οὐδ᾽ ἐν περιουσίαι τῶν ἀναγκαίων ὑβρίσαντες εἰς ἡδονὰς παρὰ φύσιν ἀσυμφύλους ἐπὶ ταῦτ᾽ ἦλθον, ἀλλ᾽ εἴποιεν ἂν αἴσθησιν ἐν τῶι παρόντι καὶ φωνὴν λαβόντες· ὦ μακάριοι καὶ θεοφιλεῖς οἱ νῦν ὄντες ὑμεῖς, οἷον βίου λαχόντες αἰῶνα καρποῦσθε καὶ νέμεσθε κλῆρον ἀγαθῶν ἄφθονον, ὅσα φύεται ὑμῖν, ὅσα τρυγᾶται, ὅσον πλοῦτον ἐκ πεδίων, ὅσας ἀπὸ φυτῶν ἡδονὰς δρέπεσθαι πάρεστιν. ἔξεστιν ὑμῖν καὶ τρυφᾶν μὴ μιαινομένοις. ἡμᾶς δὲ σκυθρωπότατον καὶ φοβερώτατον ἐδέξατο βίου καὶ χρόνου μέρος, εἰς πολλὴν καὶ ἀμήχανον ἐκπεσόντας ἀπὸ τῆς πρώτης γενέσεως ἀπορίαν· ἔτι μὲν οὐρανὸν ἔκρυπτεν ἀὴρ καὶ ἄστρα, θολερῶι καὶ δυσδιαστατοῦντι πεφυρμένος ὑγρῶι καὶ πυρὶ καὶ ζάλαις ἀνέμων.

οὔπω δ᾽ ἥλιος ἵδρυτο ἀπλανῆ καὶ βέβαιον ἔχων δρόμον, ἠῶ
καὶ δύσιν ἔκρινεν, περὶ δ[ὲ] ἤγαγεν αὖθις ὀπίσσω
καρποφόροισιν ἐπιστέψας καλυκοστεφάνοισιν
Ὥραις, γῆ δ᾽ ὕβριστο

ποταμῶν ἐκβολαῖς ἀτάκτοις καὶ πολλὰ λίμναισιν ἄμορφα καὶ πηλοῖς βαθέσι καὶ λόχμαις ἀφόροις καὶ ὕλαις ἐξηγρίωτο· φορᾶς δὲ ἡμέρων καρπῶν καὶ τέχνης ὄργανον οὐδὲν <ἦν> οὐδὲ μηχανὴ σοφίας· ὁ δὲ λιμὸς οὐκ ἐδίδου χρόνον οὐδὲ ὥρας ἐτησίους σπόρος <πυρ>ῶν τότ᾽ ἀνέμενε. τί θαυμαστόν, εἰ ζώιων ἐχρησάμεθα σαρξὶ παρὰ φύσιν, ὅτ᾽ ἰλὺς ἠσθίετο καὶ ᾽φλοιὸς ἐβρώθη ξύλου᾽ καὶ ᾽ἄγρωστιν εὑρεῖν βλαστάνουσαν ἢ φλεώ᾽ τινα ῥίζαν εὐτυχὲς ἦν; βαλάνου δὲ γευσάμενοι καὶ

φαγόντες ἐχόρευσαν ὑφ᾽ ἡδονῆς περὶ δρῦν τινα καὶ φηγὸν ζείδωρον (δὲ) καὶ μητέρα καὶ τροφὸν ἀποκαλοῦντες. ἐκείνην (994) οὖν ὁ τότε βίος ἑορτὴν ἔγνω, τὰ δ᾽ ἄλλα φλεγμονῆς ἦν ἅπαντα μεστὰ καὶ στυγνότητος. ὑμᾶς δὲ τοὺς νῦν τίς λύσσα καὶ τίς οἶστρος ἄγει πρὸς μιαιφονίαν οἷς τοσαῦτα περίεστι τῶν ἀναγκαίων;

**B 154a** = Plútarchos, De esu carn. II, 1; 996e

καὶ πέποται ὁ τῆς συνηθείας κυκεών, ὥσπερ ὁ τῆς Κίρκης

ὠδῖνάς <τ᾽> ὀδύνας <τε> κυκέων ἀπάτας τε γόους τε.

**B 154c** = Suidás, Lexicon, s.v. αὐτίκα

αὐτίκα. καὶ παροιμία· „αὐτίκα ... ἔσεσθαι“ ἐπὶ τῶν εὐθὺς ἀπὸ πρώτης ἀρχῆς πρὸς ἀγαθὸν τέλος ἀποβλεπόντων.

αὐτίκα καὶ φυτὰ δῆλα, τὰ μέλλει κάρπιμ᾽ ἔσεσθαι.

**B 155** = Diogenés Laertios, Vita philosophorum VIII, 43

ἦν καὶ Τηλαύγης υἱὸς αὐτοῖς, ὃς καὶ διεδέξατο τὸν πατέρα καὶ κατά τινας Ἐμπεδοκλέους καθηγήσατο· Ἱππόβοτός γέ τοί φησι λέγειν Ἐμπεδοκλέα·

Τήλαυγες, κλυτὲ κοῦρε Θεανοῦς Πυθαγόρεω τε.

**B 156** = Diogenés Laertios, Vita philosophorum VIII, 60

ἀλλὰ καὶ ἐπίγραμμα εἰς αὐτὸν ἐποίησε·

Παυσανίην ἰητρὸν ἐπώνυμον Ἀγχίτεω υἱόν
φῶτ᾽ Ἀσκληπιάδην πατρὶς ἔθρεψε Γέλα,
ὃς πολλοὺς μογεροῖσι μαραινομένους καμάτοισιν
φῶτας ἀπέστρεψεν Φερσεφόνης ἀδύτων.

**B 157** = Diogenés Laertios, Vita philosophorum VIII, 65 (= A 1,65)

ἄκρον ἰατρὸν Ἄκρων᾽ Ἀκραγαντῖνον πατρὸς Ἄκρου

κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης.

τινὲς δὲ τὸν δεύτερον στίχον οὕτω προσφέρονται

ἀκροτάτης κορυφῆς τύμβος ἄκρος κατέχει.

τοῦτό τινες Σιμωνίδου φασὶν εἶναι.

**B 158** = Hieroklés, In aureum carmen 24 Köhler (Stobaios, Anthologium ed. Gaisf. II, 143, 8)
ἡ δὲ ἔφεσις τοῦ φεύγοντος τὸν τῆς Ἄτης λειμῶνα πρὸς τὸν τῆς Ἀληθείας ἐπείγεται λειμῶνα, ὃν ἀπολιπὼν τῆι ὁρμῆι τῆς πτερορρυήσεως εἰς γήινον ἔρχεται σῶμα ὀλβίου αἰῶνος ἀμερθείς.

**B 159** = Aristotelés, De generatione et corruptione I, 8; 325b 19
Ἐμπεδοκλεῖ δὲ τὰ μὲν ἄλλα φανερόν, ὅτι μέχρι τῶν στοιχείων ἔχει τὴν γένεσιν καὶ τὴν φθοράν, αὐτῶν δὲ τούτων πῶς γίνεται καὶ φθείρεται τὸ σωρευόμενον μέγεθος οὔτε δῆλον ...